262. *ἄθλον* Ald. *ἄθλου* Regg. A. B. G. K. M. Colb. 2. M. 1. 2. Guelph. Lips. 2. Ven. 2. Ar. Med. Ph. Schol. B. Brunck. Blomf. *ἄθλων* reliqui codd. et Rob. Turn. Glasg. Schütz. Illud ex v. 257. ortum videtur, *ἄθλων* autem quomodo per errorem irrepere potuerit, intelligi non potest.

263. *ἐλαφρὸς* Garb.

264. *νουθεθεῖν* Ald. — *τοὺς κακῶς πράσσοντας* codd. et edd. omnes; propter anapaestum in secunda sede v. 265., quem corruptis exemplis tuetur Brunck., Stanl. et Heath. emendant *τὸν κακῶς πράσσοντ'*, quod receperunt Schütz. et Blomf. Propter librorum consensum emendationem incertam recipere non sum ausus.

265. *ἐπιστάμην* Lips. 2.

267. *δ'* omittit Rob. — *ηὑρόμην* M. 2.

268. *οὐ μέν τοι* Vienn. B. D. Ald. *οὐ μέν τι* Turn. et codd. ap. Steph. *οὐ μήν τοι* Ven. 1. Guelph. Lips. 2. *οὐ μήν γε* Ar. Ven. 2. M. 2. Vienn. A. — *ποιναῖς ᾤμην* omisso *γ'* Lips. 2. Vienn. A. Ald. Rob. Turn.

269. Deest hic versus in Colb. 2. — *κατισχανεῖσθαι* Ald. Rob. Turn. Vict. *κατισχνανεῖσθαι* Reg. D., idem conjecit Stanl.

Τυχόντ᾽ ἐρήμου τοῦδ᾽ ἀγείτονος πάγου.
Καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ᾽ ἄχη,
Πεδοῖ δὲ βᾶσαι τὰς προσερπούσας τύχας
Ἀκούσαθ᾽, ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
Πείθεσθέ μοι, πείθεσθε, συμπονήσατε
Τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη
Πρὸς ἄλλοτ᾽ ἄλλον πημονὴ προσιζάνει.

ΧΟΡΟΣ.

Οὐκ ἀκούσαις ἐπεθώϋξας
Τοῦτο, Προμηθεῦ.
Καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
Θῶκον προλιποῦσ᾽, αἰθέρα θ᾽ ἁγνὸν
Πόρον οἰωνῶν, ὀκρυοέσσῃ

---

et recepit Glasg. Blomf., quamquam Pors. ad Orest. 292. alteram formam praefert.

271. Deest hic versus in Colb. 2. — καὶ μὴν suprascr. οι M. 1. καίτοι Rob. et marg. MS. ap. Morell. — μὴ ὀδύρεσθ᾽ Colb. 1. μὴ ᾽δύρεσθ᾽ Ald. Rob. Turn. Vict. μὴ δύρεσθ᾽ Med. idem conjecit Pors. ad Hecub. 734. et receperunt Schütz. Blomf. recte.

272. βλάβας pro τύχας Schol. probante Scaligero.

273. μάθοιτε Colb. 2. M. 1. 2. Ar. Ven. 2.

274. πείθεσθ᾽ ἐμοὶ Brunck. ex more. — μοι post alterum πείθεσθε repetunt Colb. 1. Viteb. — πύθεσθε Schol. B. πίθεσθε ex monitu Elmslej. Blomf. sine causa.

275. ταυτά μοι Vienn. A. B. C. D. ταῦτά τοι Regg. D. F. N. Turn. codd. ap. Steph. Schol. Brunck. — Adjeci coronidem, quae in edd. abest.

276. πρός ἄλλον ἄλλη marg. MS. ap. Morell. πρὸς ἄλλοτ᾽ ἄλλο Vienn. B. D. πρὸς ἄλλοτ᾽ ἄλλη Vienn. A.

277. ἐθώϋξας Colb. 2.

278. τοῦτ᾽ ὦ Vienn. B.

279. κραιπνόσσυτον libri omnes praeter Reg. G. qui κραιπνόσυτον dat, quod metri causa scribendum esse jam monuit Bentl. Diss. de Phalar. p. 140. et sic inde a Brunckio omnes. vid. ad v. 116.

280. θᾶκον Regg. A. B. C. G. H. M. Med. M. 1. 2. Guelph. Vienn. C. Lips. 1. Ar. Brunck. et reliqui omnes, qui idem reponunt v. 833. ubi omnes libri in θῶκον consentiunt, quod nostro loco exhibent Vienn. A. B. D. Ald. Rob. Turn. Vict. — αἰθέρ᾽ ἀγνὸν Ar. Vienn. B. Ald. Rob.

281. ἀκρυοέσσῃ Regg. A. B. Vienn. B. D. Ald. Rob. Turn. Vict. ὀριοέσσῃ Reg. N. Lips. 1. M. 2., quod Brunck. ex conjectura reposuit, et reliqui receperunt. Nescio cur illam vocem, tot librorum auctoritate et grammaticorum testimoniis firmatam, ubique exstirpare velint editores.

Χθονὶ τῇδε πελῶ· τοὺς σοὺς δὲ πόνους
Χρήζω διαπαντὸς ἀκοῦσαι.

ΩΚΕΑΝΟΣ.

Ἥκω δολιχῆς τέρμα κελεύθου
Διαμειψάμενος πρός σε, Προμηθεῦ,
Τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν
Γνώμῃ στομίων ἄτερ εὐθύνων·
Ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
Τό, τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
Ἐξαναγκάζει, χωρίς τε γένους
Οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν
Νείμαιμ', ἢ σοί.
Γνώσῃ δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
Χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
Σήμαιν', ὅ, τι χρή σοι συμπράττειν·
Οὐ γάρ ποτ' ἐρεῖς, ὡς Ὠκεανοῦ

---

283. ἀκούσειν Ven. 2. Rob.

284. τέρμα, quod Schütz. male intellexit, cum ἥκω jungendum esse, probavit Wunderl. obss. critt. p. 185. s.

285. πρὸς σὲ desunt in Lips. 2. πρὸ σὲ Turn.

287. εὐθύνῳν ἄτερ Lips. 1. Vienn. A.

288. ξυναλγῶ omnes praeter Med. Colb. 1., qui συναλγῶ exhibent, quod metri causa legendum esse jam Stanlejus vidit, habentque post eum omnes.

292. νέμοι μ' Ald. νέμοιμ' M. 1. 2. Colb. 2. Lips. 2. Ven. 2. Ar. Med. Rob. γε νέμοιμ' Turn. Garb.

293. γνώσῃ codd. et edd. omnes, et cum iis Brunck., quem tamen in notis poenitet, reliqui pro more γνώσει, quod praebet Athen. IV. p. 165. D., ubi totus versus ita legitur: γνώσει τάδ' ὡς ἔτυμά γ' οὐδὲ γὰρ μάτην. — δὲ deest Ven. 2. Viteb. — ἐτήτυμα Ox. Colb. 1. 2. Lips. 1. 2. Guelph. Ven. 2. ἐτήτυμ' Ar. Regg. G. H. Ald. ἐτήτυμον, δὲ Reg. L. — κοὐδὲ Lips. 1. οὐ Viteb. Reg. H.

294. σε χαριτογλωσσεῖν Guelph. Regg. H. L. Ven. 1. 2. codd. ap. Steph. Ald. σοὶ χαριτογλωσσεῖν M. 2. Lips. 2. Regg. G. K. σοὶ τὸ χ. Rob. χ. σοι Regg. D. E. F. M. 1. χ. σ' Reg. N. — χαριτογλωττεῖν Regg. G. L.

295. εἴτι χρὴ Rob. — συμπράττειν codd. et edd. omnes, quod inde a Brunckio in ξυμπράσσειν male mutatum est. Hoc loco jam propter praecedens σοὶ illud retinendum erat, in quo consentientem habeo Reisigium ad Soph. Oed. Col. p. 341.

296. ποτε φῇς Colb. 2. Reg. H. ποτε φῇς Regg. E. H. Ox. Barocc. Vienn. B. D. Ald. ποτ' ἔφῃς Lips. 2. ποτε φήσεις Ar.

Φίλος ἐστὶ βεβαιότερός σοι.

ΠΡΟΜΗΘΕΥΣ.

Ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
Ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
Ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
Αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα
Ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
Ἐμὰς ἀφῖξαι, καὶ συνασχαλῶν κακοῖς;
Δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
Τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
Οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι.

ΩΚΕΑΝΟΣ.

Ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
Θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
Γίνωσκε σαυτὸν, καὶ μεθάρμοσαι τρόπους
Νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
Εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
Ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
Θακῶν κλύοι Ζεὺς, ὥστε σοι τὸν νῦν χόλον
Παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν.
Ἀλλ' ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες,
Ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.

---

297. *φίλος ἄλλος* Reg. G. *φίλος ἕτερος* Rob.
298. *δὴ* deest Lips. 2. Ald. Rob.
301. *αὐτόκτιστ'* Colb. 1. Vienn. A. C. Ald. Rob. *αὐτότικτ'* Vienn. B. D.
302. *θεωρὸς τύχας ἐμᾶς* Ald. *θεωρὸς ὢν* Vienn. C.
303. *ἀφίξω* Colb. — *συνασχαλῶν* M. 2. Lips. 2. Guelph. Ald. Rob. Turn. *συναλγῶν* Ven. 2., sed *ξυνασχαλῶν* omnes inde a Vict. v. Comment. Aeschyl. p. V.
305. *ξυγκαταστήσαντα* contra libros omnes Brunck. Glasg. Blomf.
309. *γίνωσκε* libri omnes, praeter Vienn. D. *γίγνωσκε* Glasg. Schütz. Blomf. — *μεθάρμοσον* Viteb. idem vulgatae lectioni suprascr. in Colb. 2. M. 2. *μετάρμοσον* marg. MS. Morell. *μεθάρμοζε* Rob.
310. *νέος καὶ γὰρ* Colb. 1.
311. *τραχεῖς τε καὶ* Lips. 2.
312. *ἀπωτέρω* Guelph. Vienn. A. et D. in marg. Rob.
313. *θακὼν* Ald. Rob. Turn. — *κλύῃ* Colb. 1. 2. Lips. 2. Ald. *κλύει* Guelph. Viteb.
314. *μόχθον* Regg. G. K. Guelph. Vienn. B. D.
316. *τῶν πημάτων* Lips. 2. Ald. abest *τῶνδε* Colb. 1.

Ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
Τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
Γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίνεται.
Σὺ δ' οὐδέπω ταπεινὸς, οὐδ' εἴκεις κακοῖς,
Πρὸς τοῖς παροῦσι δ' ἄλλα προςλαβεῖν θέλεις.
Οὔκουν, ἔμοιγε χρώμενος διδασκάλῳ,
Πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
Τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.
Καὶ νῦν ἐγὼ μὲν εἶμι, καὶ πειράσομαι,
Ἐὰν δύνωμαι, τῶνδέ σ' ἐκλῦσαι πόνων.
Σὺ δ' ἡσύχαζε, μηδ' ἄγαν λαβροστόμει.
Ἢ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι
Γλώσσῃ ματαίᾳ ζημία προςτρίβεται;

ΠΡΟΜΗΘΕΥΣ.

Ζηλῶ σ' ὁθ' οὕνεκ' ἐκτὸς αἰτίας κυρεῖς,
Πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
Καὶ νῦν ἔασον, μηδέ σοι μελησάτω.
Πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
Πάπταινε δ' αὐτὸς μή τι πημανθῇς ὁδῷ.

ΩΚΕΑΝΟΣ.

Πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς,

---

317. σοι deest Lips. 2. — φαίνομεν Ven. 2. — λέγων Ar. Seld. et suprascr. in M. 2.

319. τὰ 'πίχειρα vulg., quod correxit Brunck. — γίνεται Ald. Rob. Vict.

320. κακῶν Viteb., quod praefert Schütz., refutatus a Wunderl. obss. critt. p. 155.

321. προςβαλεῖν Reg. G.

325. καὶ μὴν Lips. 2.

326. ἐκλύσειν Colb. 2.

327. λαυροστόμει Vienn. A. C. D. Regg. H. K. Ald. λευροστόμει M. 2. πολυλόγει Vienn. B.

328. περισσόφρων Vienn. C. περισώφρων Vienn. A. Ald. Rob. περισαώφρων M. 1.

329. προςγίνεται Ven. 1. 2. Ar. Ox. M. 1. 2. Lips. 2. codd. ap. Steph. Ald. Rob. Turn., sed alteram lectionem πρόςτρίβεται, quam etiam Vict. Stob. p. 218. et Mich. Apostol. VI, 36. praebent, omnes inde a Brunckio editores ut magis Aeschyleam recte receperunt.

330. ζημίας Rob.

332. μὴ δὲ Ald. μηδὲν Vienn. A. C. D. Colb. 2. M. 1. 2. Lips. 2. Ven. 2. codd. ap. Steph. Rob.

333. πείθεις Med. — εὐπειθὴς M. 2. Lips. 2. Viteb. Ald. Rob.

335. ἔχεις pro ἔφυς Ph.

Ἢ σαυτόν· ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.
Ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς.
Αὐχῶ γὰρ, αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
Δώσειν Δί', ὥςτε τῶνδέ σ' ἐκλῦσαι πόνων.

ΠΡΟΜΗΘΕΥΣ.

Τὰ μὲν σ' ἐπαινῶ, κοὐδαμῆ λήξω ποτέ·
Προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
Μηδὲν πόνει· μάτην γὰρ, οὐδὲν ὠφελῶν
Ἐμοὶ, πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις.
Ἀλλ' ἡσύχαζε, σαυτὸν ἐκποδὼν ἔχων·
Ἐγὼ γὰρ οὐκ εἰ δυςτυχῶ, τοῦδ' εἵνεκα
Θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.
Οὐ δῆτ', ἐπεί με καὶ κασιγνήτου τύχαι
Τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
Ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς

---

337. *μηδαμῶς μ' ἀντισπάσῃς* M. 1. 2. quod recepit Blomf., quamquam minime desideratur.

339. *δώσειν γε* Reg. K. — *τῶνδε* deest M. 2. Lips. 2. — *ἐκλύσειν* Vienn. B.

340. *κοὐδὲ μὴ* Reg. B. Med. Ven. 1. — *ἐπαινῶν οὐδαμῇ* conjecit Valck. ad Phoen. 1723. et recepit Brunck., bene refutatus a Schützio, qui *ἐπαινῶν* ad *λήξω* supplendum esse recte vidit. cf. Herm. ad Soph. Aj. 1358.

341. *προμηθείας* Guelph. *προμηθίας* Regg. C. D.

343. *θέλοις* Reg. B. Viteb. M. 1., quod receperunt Brunck. et Schütz. inepte.

344. *ἡσύχαξε* Rob.

345. *εἵνεκα* codd. et edd. omnes, sed *οὕνεκα* praeeunte Dawes. misc. crit. p. 195. recentiores omnes, Atticismi scilicet causa. Idem recurrit Suppl. 191. Eurip. Androm. 409. Herc. fur. 210. Simile est *ἐξεκείνωσε* Pers. 758. et quod saepe apud tragicos legitur *ξεῖνος.* v. Valck. ad Phoen. 285.

346. *οὐ θέλοιμ' ἂν* Colb. 1. — *πημοναῖς* Ald.

347—372. vulgo Oceano tribuuntur, sed Prometheo continuandos esse acute vidit Elmslejus, quem secutus est Blomf., assentiente Lachm. de mensura trag. p. 20. Perspicua res videtur, totius enim orationis argumentum et vaticinium v. 367. sqq. Oceani personae minus, quam Promethei conveniunt. — *χ' αἱ* Glasg. Blomf. sine causa; abest articulus non minus bene, quam v. 25. 169. 395. 801. 833. 873.

348. *ὃς ἐς* Med. Rob. — Conjecturam Spanhemii ad Callim. hymn. in Del. 174. *ἑσπέρου* Abreschius, et Valckenarii ad Eur. Hippol. 277. *ἑσπέροις τόποις* Brunckius bene refutavit.

349. *ἕστηκε κίων οὐρανοῦ τε καὶ χθονὸς, ὤμοιν ἐρείδων ἄχθος* o. e. Rob. sensu egregio. Idem conjectura assecutus est Petit.

Ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
Τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
Ἄντρων ἰδὼν ᾤκτειρα, δάϊον τέρας
Ἑκατοντακάρηνον πρὸς βίαν χειρούμενον
Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀντέστη θεοῖς,
Σμερδναῖσι γαμφηλῇσι συρίζων φόνον·
Ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
Ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ·
Ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
Καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
Ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
Κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
Ἐφεψαλώθη κἀξεβροντήθη σθένος.

---

observ. misc. III, 24. qui tamen male post *κίων* comma ponit. Sed reliqui libri omnes in vulg. consentiunt, et *κίονα* Eustath. quoque praebet ad Od. *A.* p. 18., itaque abstinui.

350. *ὠμοίαν* Reg. D. *ὤμοιν* Rob. quod receperunt Glasg. Schütz. Blomf. Sed *ὤμοις* reliqui omnes et Plutarch. de facie in orbe lunae c. 6. T. XIII. p. 37. Hutt., idque restitui.

351. *Κιλίκων* M. 1. Reg. H.

353. *ἑκατοντακάρηνον* libri omnes et Brunck. *ἑκατογκάρηνον* anapaesti vitandi causa conjecit Pauw. et receperunt Glasg. Schütz. *ἑκατογκάρανον* Blomf., Atticismi scilicet causa. Vulgatam retineo, in qua anapaestus forsitan ex ipso poetae consilio excusationem habet.

354. *ὃς πᾶσιν* Rob. Id quod dedimus, in reliquis omnibus libris legitur et ediderunt Brunck. Glasg., sed propter anapaestum varia tentarunt viri docti: *πᾶσ' ὃς* Stanl. *ὃς πᾶσ'* Schütz. *μόνος ὃς* Buttler. *ὅστις* ex Gaisfordii conjectura, Porsono probata, Blomf., uterque *πᾶσιν* ejecto; *Τυφὼν ἅπασιν ὅστις* Elmsl. ad Aristoph. Acharn. 1095. ed. Lips. *Τυφῶνα θῆρ', ὃς πᾶσιν* Burges. *πᾶσιν ὃς προὔστη* Lobeck. ad Soph. Aj. p. 344. adsentiente Reisig. ad Soph. Oed. Col. p. 253. *πᾶσιν ὃς ἀνέστη* Wunderl. obss. critt. p. 27. *θοῦρον. Πᾶσιν ἀντέστη* vir doctus in ephemer. Ien. 1813. p. 212. quae quum omnia incerta sint, vulgatam intactam reliqui.

355. *δειναῖσι* pro *σμερδναῖσι* Rob. et Tzetz. ad Lycophr. 177. ubi tamen cod. *σμερδναῖσι* habet. *διναῖσι* Eudocia in Villois. Anecd. p. 406. — *γαμφηλῇσι* Colb. 1. M. 1. 2. Regg. B. G. Lips. 2. Ald. Turn. Eustath. ad Il. *E.* p. 440. Brunck. Schütz. cf. Valck. ad Hippol. 1432. *γαμφηλαῖσι* vulg. et Glasg. Blomf. Atticismi causa. — *φόβον* Med. Reg. D. Rob. Schol.

356. *ἠστραπτέται* Lips. 2. Guelph.

358. *ἄγριον βέλος* Lips. 1. Guelph. Vienn. A. *ἄγριον σέλας* codd. ap. Steph.

362. *κἀξεβροντίσθη* Reg. N. *κ' ἐξεβροντίσθη* Colb. 1.

Καὶ νῦν ἀχρεῖον καὶ παρήορον δέμας
Κεῖται στενωποῦ πλησίον θαλασσίου
Ἰπούμενος ῥίζησιν Αἰτναίαις ὕπο·
Κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
Ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
Τῆς καλλικάρπου Σικελίας λευρὰς γύας·
Τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον
Θερμοῖς ἀπλήστου βέλεσι πυρπνόου ζάλης,
Καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.
Σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
Χρῄζεις· σεαυτὸν σῷζ' ὅπως ἐπίστασαι·
Ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
Ἔστ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.

ΩΚΕΑΝΟΣ.

Οὔκουν, Προμηθεῦ, τοῦτο γινώσκεις, ὅτι

---

363. παράωρον M. 1. 2. Viteb. Vienn. B. D. codd. ap. Steph., idem suprascr. ήο Colb. 1., παρήορον suprascr. άω Colb. 2. παρήωρον Ven. 2. Vienn. A. C. Rob. πανάωρον Ox. cod. ap. Turn. Ald.

365. ἱπνούμενος codd. et edd. omnes; Schol. ad Aristoph. Vesp. 139., idque dedit Brunck., quem tamen poenitet ad Aristoph. Lysistr. 291. Equ. 924. ἰπούμενος conj. Steph. et Hemsterh. ad Aristoph. Plut. 814. quibus Wunderl. obss. critt. p. 117. auctoritatem addit Eustathii, qui ad Il. Α. p. 16. nostrum locum respicit. Obsecuti sunt Glasg. Schütz. Blomf. — ῥίζησιν Colb. Reg. B. Ald. Rob. Turn. Brunck. Schütz. vulgatum ῥίζαισιν retinent Glasg. Blomf. ut solent.

367. ἐνθένδ' Vienn. A. C.

368. ἀγρίοις Colb. 1. Reg. K.

369. λευροὺς Rob. quod probat Elmsl. ad Eurip. Heraclid. 839. exemplis contendens, γύη Atticis semper masculinum esse, et alia de causa Wunderl. p. 117. obelo notat Pors. — γυίας Colb. 2. M. 2. Vienn. A. B. C. D. γύας tuetur etiam Valck. ad Phoen. 648.

371. θερμῆς Colb. 1. M. 2. Regg. A. B. (hic tamen suprascr. θερμοῖς) C. F. N. Vienn. A. B. C. D. Reg. ap. Spanh. Rob. Vict., sed θερμοῖς praestat, et receptum est a recentioribus omnibus. — ἀπλείστῳ Regg. C. F. ἀπλάστου Schütz. ex conjectura inutili.

373. οὐ ἄπειρος Rob.

376. λοφήσῃ Ald. λωφήσω Reg. C. et var. lect. ap. Turn. λωφήσοι suprascr. η Colb. 2. comma post λωφήσῃ habet Rob.

377. γινώσκεις Ald. Rob. Turn. Vict., recentiores γιγνώσκεις, quod jam non amplius monebo.

Ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;

ΠΡΟΜΗΘΕΥΣ.

Ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ,
Καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.

ΩΚΕΑΝΟΣ.

Ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα
Ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.

ΠΡΟΜΗΘΕΥΣ.

Μόχθον περισσὸν, κουφόνουν τ' εὐηθίαν.

ΩΚΕΑΝΟΣ.

Ἔα με τῇδε τῇ νόσῳ νοσεῖν, ἐπεὶ
Κέρδιστον, εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν.

ΠΡΟΜΗΘΕΥΣ.

Ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε.

ΩΚΕΑΝΟΣ.

Σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.

---

378. ψυχῆς νοσούσης habet hunc versum citans Plutarch. cons. ad Apoll. p. 102. B. (T. VII. p. 317, Hutt.) et Eustath. ad Il. Θ. p. 696., idemque expressisse Ciceronem, qui Tusc. III, 30. hunc locum vertit, putabat Stephanus. Sed errat; ὀργὴ omnis omnino animi affectio est. v. Ruhnk. ad hymn. Cer. 203. Musgr. ad Soph. Antig. 1183. Werfer. in Act. phil. Monac. I, 1. p. 78. ideoque nihil mutandum.

379. ὅταν τις Plutarch. l. l. — γε deest Ar. M. 1. — μαλθάσῃ M. 1. Ar. Colb. 2. Vienn. D. Ald. Rob.

380. σφυδῶντα Med. — ἰσχναίη Colb. 1. ἰσχαίνῃ Vienn. B. C. Schütz. Blomf.

381. προμηθεῖσθαι Regg. A. B. L. Colb. 2. codd. ap. Steph. Rob. Valck. ad Phoen. 1475. Brunck. Glasg. Schütz. Blomf. προμυθεῖσθαι γε Vienn. B. Reliqui omnes προθυμεῖσθαι, quod nescio cur sit lectioni, minore auctoritate firmatae, postponendum. — τολμᾶν τινας Colb. 1.

382. δίδασκ' ἐμὲ vulg. et Brunck., sed δίδασκέ με Vienn. B. C. Ald. Glasg. Schütz. Blomf. δίδασκ' ἐμοὶ Vienn. D.

383. εὐηθείαν Reg. L.

384. τήνδε τὴν νόσον Ox. suprascr. in Reg. B. Turn. Vict. Brunck. Glasg. Schütz., sed non deterior est dativus, quem Med. Ven. 1. 2. Ar. Regg. A. B. C. D. F. H. K. L. N. codd. ap. Steph. Ald. Rob. praebent, et recte retinuit Blomf. τῇδε νόσῳ Reg. G. τῇδε τῇ νόσων Colb. 1.

385. φρονεῖν δοκεῖν M. 1. 2. Vienn. B.

386. δοκεῖ σοι Regg. C. H. — τἀπλάκημ' Glasg. Schütz. Blomf. ut solent.

387. στελλεῖ Ald. στελεῖ Ox. Bar. — πάλαι Viteb.

ΠΡΟΜΗΘΕΥΣ.

Μή γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.

ΩΚΕΑΝΟΣ.

Ἦ τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας;

ΠΡΟΜΗΘΕΥΣ.

Τούτου φυλάσσου μήποτ' ἀχθεσθῇ κέαρ.

ΩΚΕΑΝΟΣ.

Ἡ σή, Προμηθεῦ, συμφορὰ διδάσκαλος.

ΠΡΟΜΗΘΕΥΣ.

Στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν.

ΩΚΕΑΝΟΣ.

Ὁρμωμένῳ μοι τόνδ' ἐθώϋξας λόγον.
Λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
Τετρασκελὴς οἰωνός· ἄσμενος δέ τ' ἂν
Σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

ΧΟΡΟΣ.

Στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ, στρ. α'.
Δακρυσίστακτον δ' ἀπ' ὄσσων

---

388. ἐμὸς Ar. Ald.

389. νέως Ms. marg. Morell. — κρατοῦντι Vienn. A. B. C. D. Reg. A. Ald. Turn. Vict. sed θακοῦντι Regg. B. H. N. Viteb. Med. M. 1. Rob. et sic Brunck. Glasg. Schütz. Blomf.

390. μήτ' ἀχθέσθῃ Colb. 1.

391. συμφορὰ Turn. Vict. ξυμφορὰ edd. inde a Brunckio, ut ubique.

393. ἐπεθώϋξας Reg. G. M. 1. Ald.

394. λευρῶν γὰρ οἶμων Ven. 2. Rob. — ψαίρει Reg. B. in marg. Turn., quod tuentur Jensius Lectt. Lucian. p. 393. et Valck. ad Phoen. 1399. et receperunt Brunck. Glasg. Schütz. Blomf. ψαύει Vienn. A. B. C. D. Regg. A. B. M. 1. 2. Ar. cod. ap. Turn. Rob. Vict. ψαύοι Colb. 1. Ald. Videtur ψαύει ex glossemate ortum esse.

395. ὁ τετρασκελὴς Colb. 2. Reg. A., ex quo Brunck. articulum recepit, notatus propterea ab Herm. praef. ad Hec. p. LIV. nec minus facile hic articulo caremus, quam v. 347. — δ' ἔτ' ἂν M. 1. et conjecit Stanl.

396. σταθμοῖσιν Vienn. D. — κάμψειε Ven. 2. Ald. Turn.

397. Carminis, quod sequitur, versus iterum ita disposuit Blomfield., ut choriambici orti sint, recte jam propterea reprehensus ab Herm. Elem. metr. p. 426. Eodem p. 493. probante in primo versu, qui vulgo ita disjunctus est, ut a τύχας alter versus incipiat, idem metrum exhibui, quod jam supra v. 128. conspeximus. — τὰς Ald. Turn.

398. δ' omittunt, suadente Heathio, Brunck. et Blomf. ut

Ῥαδινὸν λειβομένα ῥέος παρειᾶν
Νοτίοις ἔτεγξα παγαῖς.
Ἀμέγαρτα γὰρ τάδε· Ζεὺς δ'
Ἰδίοις νόμοις κρατύνων,
Ὑπερήφανον θεοῖς τοῖς
Πάρος ἐνδείκνυσιν αἰχμάν.
Πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα, ἀντ. α.
Μεγαλοσχήμονά τ' ἀρχαι-

---

versus antistrophico respondeat, retinet Schütz., quia sic quoque responsionem salvam esse putat, de quo recte dubitat Herm. El. metr. p. 494. δακρυσιστακτὶ δ' proponens. Ego quidem δ' propter sensum abesse nullo modo posse censeo, (neque Reisigio credo, hanc emendationem tanquam suam proferenti ad Soph. Oed. Col. p. 388.) neque in δακρυσίστακτον quidquam mutandum esse puto, vitium enim in antistrophico latere videtur, ad quem vide quae monebuntur.

399. ῥαδινῶν vulg., sed ῥαδινὸν Regg. G. L. Ox. M. 1. Ald. Rob., quod praeferendum putavi: namque ob id quidem non est damnandum, quod ῥέος duo epitheta habet, ὄσσων nullum. v. Elmsl. ad Eur. Heraclid. 750. — λειβομένα post Heathium omnes edd. omiserunt versus antistrophici causa, quod male factum esse, tum librorum consensus et pleonasmus intolerabilis, quem Heathii lectio efficit, demonstrant, tum ex eo elucet, quod in antistrophico alia etiam sunt certissima lacunae indicia.

400. νοτίαις Turn. — ἔτεγξε conjecit Heathius, et in Reg. A. repertum recepit Brunck. omnesque post eum, quos ita legere oportebat propter omissum λειβομένα, quo retento hic etiam omnium librorum lectio restitui potest. — πηγαῖς Reg. G. Colb. 2. M. 2. Ven. 1. 2. Vienn. B. C. D.

401. Vulgo neque interpungitur post τάδε et δ' abest; utrumque sensus requirit et recepi ex Rob., praeeunte Hermanno l. c. Simile est, quod habet Vienn. B. ἀμέγαρτα γὰρ τάδε. Ζεὺς γὰρ ἰδίοις.

402. κρατύνει Vienn. A. C.

403. 4. τοῖς πάρος θεοῖς δείκνυσιν Vienn. D. Ald. Turn. Vict. θεοῖς τοῖς πάρος δείκνυσιν M. 2. Reg. B. Vienn. A. B. C. Rob. θ. τ. π. δεικνύει Viteb. Colb. 1. M. 1. θ. τ. π. ἐνδεικνύει Reg. D. θ. τ. π. ἐνδεικνύειν Med. θ. τ. π. ἐνδείκνυσιν Ar. Reg. L. θεοῖσι τοῖσι πάρος δείκνυσιν ex Heathii conjectura Brunck. Glasg. Schütz. quod et contra libros est neque metro satisfacit. θεοῖς τοῖ—σι πάρος δείκνυσιν Herm. l. c. quod probarem, nisi ex conjectura fluxisset. Id, quod cum Blomfieldio dedi, plurimorum librorum auctoritate nititur. — αἰχμὴν Viteb. M. 1. 2.

405. ἤδη in ἤδε mutavit Schütz. sine causa.

406. μεγαλοσχήμονά τ' ἀρχαιοπρεπῆ libri omnes praeter Vienn. B. C. D. qui μεγαλοσχήμονά τε ἀρχ. et Aldinam, quae μεγαλοσχήμων ἅτ' ἀρχ. praebet. Vulgatam Glasg. et Blomf. reti-

οπρεπῆ * στένουσα τὰν σὰν
Ξυνομαιμόνων τὲ τιμὰν,
Ὁπόσοι τ' ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται,
Μεγαλοστόνοισι σοῖς πή-
μασι συγκάμνουσι θνητοί·
Κολχίδος τε γᾶς ἔνοικοι — στρ. β'.
Παρθένοι, μάχας ἄτρεστοι,
Καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
Ἔσχατον τόπον ἀμφὶ
Μαιῶτιν ἔχουσι λίμναν,
Ἀραβίας τ' ἄρειον ἄνθος, — ἀντ. β'.

---

nent, quamquam sensu caret, reliqui edd. Heathii conjecturam κἀρχαιοπρεπῆ receperunt, adversantem illam poetarum mori, epitheta ornantia duo numquam per copulam jungendi. (v. Herm. de differ. poeseos et prosae orat. p. 31. et ad Orph. Lith. 81. Iacobs. ad Anthol. Gr. III, 2. p. 210.). Verum latere mihi videtur in lectione Ald., qua metrica quoque difficultas tollitur, de qua ad strophicum disputavi. Sensum quidem neque haec ullum praebet, sed ex eo ipso certum est, lacunam esse in versu sequente, id quod metrum etiam strophici 399. docet.

407. στένουσι Vienn. A. C. Rob. Vict. Glasg. Blomf., sed et sensus adversatur, deberet enim subjectum e sequentibus suppleri, quamquam ὁπόσοι τ' indicat, aliud subjectum antecedere, et στένουσα legitur in Ar. Ox. Ven. 1. 2. M. 2. Reg. D. Baroc. Ald. idque receperunt Brunck. et Schütz. Multus est in hoc loco explicando Wunderl. p. 117. sqq., qui tamen sententiam suam vix cuiquam persuadebit. — τὰν σὰν Ald. τῶν σῶν Rob. et MS. ap. Morell.

408. Deest versus in M. 1. et τε in Ald.

409. ἔποικοι Colb. 1.

411. σοῖσι Colb. 2. Ven. 1. 2. Ox., idque ex conjectura reponere debuerunt Heath. Brunck. Glasg. Schütz., qui in strophicum emendationem suam intulerant. Reliqui omnes σοῖς.

414. μάχαις Regg. A. B. D. Colb. 2. M. 1. 2. Guelph. Ven. 1. 2. Ox. Ar. Bar. Brunck. Schütz. Blomf. μάχης Ald. μάχαν Rob. μάχας rell. omnes, quod recepit Glasg. et ut exquisitius recte commendat Wunderl. p. 121.

416. πόρον vulg. et sic Brunck. Schütz. τόπον πόρον Ald. τόπον Regg. H. K. L. N. Med. Colb. 1. Ar. M. 1. 2. Ven. 2. Rob., quod tragicis usitatissimum recte praetulisse videntur Glasg. Blomf.

418. Ἀῤῥαβίας M. 1. 2. — Γάβιοί τ' scribendum putat Herm. obss. crit. p. 9., quia Arabiam cum Scythis commemorare summae imperitiae foret, et Eustath. ad Il. XIII. p.

Ὑψίκρημνόν θ᾽ οἳ πόλισμα
Καυκάσου πέλας νέμονται,
Ἄραβος στρατός, ὀξυ-
πρῴροισι βρέμων ἐν αἰχμαῖς.
Μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις ἐπῳδ.
Δαμέντ᾽ ἀδαμαντοδέτοις
Τιτᾶνα λύμαις εἰσιδόμην θεῶν
Ἄτλανθ᾽, ὃς αἰὲν ὑπείροχον σθένος
Κραταιὸν οὐράνιόν τε πόλον
Νώτοις ὑποστενάζει.

---

916. Abios dicat ab Aeschylo Gabios vocari. Sed primum non ita premenda sunt verba poetae, qui talia minus anxie curat, deinde Eustathii verba locum Promethei soluti spectant, quem adfert Steph. Byz. s. v. Ἄβιοι, postremo Γάβιοι primam corripit, quod ex illo ipso loco patet. — ἔθνος vulg., sed ἄνθος Ar. Viteb. Regg. A. B. G. H. K. L. Colb. 1. 2. M. 1. 2. Lips. 2. Guelph. Ven. 2. codd. ap. Steph. Rob. Brunck. Glasg. Schütz. Blomf.

419. ὑψίκρημνόν τ᾽ οἳ Turn. ὑψίκρημνον οἳ Blomf., auctore Elmslejo, sine causa.

420. νέμουσι Med. Colb. 1. Reg. N.

422. ὀξυπώροισι Ald. — [illegible] deest in Reg. D.

423. Versus sequentes in stropham et antistropham, obsequente Schützio, ita divisit, ut antistropha a v. 429. inciperet, Herm. obss. critt. p. 11. non sine magnis mutationibus, quas referre non attinet, quum jam ipse, mutata sententia, El. metr. p. 730. epodum his versibus contineri declaraverit, qualem etiam Glasg. Blomf. et Lachm. de chor. system. p. 71. exhibent. — μόνον δὲ Vienn. A. C. Ven. 2. — σου post πρόσθεν addunt Ox. Ald. — ἄλλων Regg. D. F. Ar. M. 1. 2. Ald. — ἐν πόνοις omittit Schütz. πόνοισιν Blomf., Burneium secutus, sine causa.

424. ἀκαμαντοδέτοις libri omnes praeter Colb. 1. qui ἀδαμαντοδέτοις praebet. Idem conjectura assecutus erat Stanl., et receperunt Schütz. Blomf., quod certissimum videtur, collato v. 148.

425. εἰσιδόμην Ald. Rob. quos secutus sum, ut v. 432. rell. εἰσιδόμαν. — θεὸν Reg. L. Guelph. Rob.

426. Ἄτλαν θ᾽ Ald. Schol. B. — ὑπέροχον Schütz. invitis libris omnibus.

427. κρατειὸν Guelph. ὑπέροχον χθονὸς κατερείδων conjicit Schütz. in excursu, quia accusativus cum ὑποστενάζει non facile jungi possit. κραταιῶν, reliquis non mutatis, scribit Voss. cur. crit. p. 6. κραταιὸν οὐρανοῦ πόλον Buttler. Sed nihil mutandum est; verba ita jungas: ὑπείροχον κραταιὸν σθένος καὶ οὐράνιον πόλον (i. e. σθένος οὐρανίου πόλου) ν. ὑ.

428. νώτοισιν codd. ap. Steph. — ὑποβαστάζει Rob. Vict. Cant. Stanl. Glasg. ὑποστενάζει Regg. A. B. G. H. K. L. Ar. Ox. Viteb. Med. Colb. 1. 2. Ven. 1.

Βοᾷ δὲ πόντιος κλύδων
Ξυμπιτνῶν, στένει βυθὸς,
Κελαινὸς δ᾽ ἄϊδος ὑποβρέμει μυχὸς
Γᾶς, πηγαί θ᾽ ἁγνοῤῥύτων ποταμῶν
Στένουσιν ἄλγος οἰκτρόν.

ΠΡΟΜΗΘΕΥΣ.

Μή τι χλιδῇ δοκεῖτε μήτ᾽ αὐθαδίᾳ
Σιγᾶν με· συννοίᾳ δὲ δάπτομαι κέαρ,
Ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον.
Καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
Τίς ἄλλος, ἢ 'γὼ, παντελῶς διώρισεν;
Ἀλλ᾽ αὐτὰ σιγῶ. καὶ γὰρ εἰδυίαισιν ἂν
ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πήματα
Ἀκούσαθ᾽, ὥς σφᾶς, νηπίους ὄντας τὸ πρὶν,

---

2. M. 1. Lips. 2. codd. ap. Steph. Ald. Turn. Brunck. Schütz. Blomf.

430. *ξυμπίπτων* M. 1. Ven. 2. et Vienn. C., ubi tamen *ξυμπιτνῶν* in marg. *συμπιτνῶν* Blomf. — *βάθος* Med. *βαθὺς* Rob.

432. *πηγαί θ᾽* Colb. 2. M. 2. Ald. Turn. *πηγαὶ δ᾽* Med. Guelph. Reliqui *παγαί θ᾽*. — *ἁγνορύτων* libris invitis, monente Heathio, receperunt Brunck. et Schütz., ut metrum anapaesticum esset, male.

433. *πικρόν* M. 1. Colb. 1. sed in hoc supraser. *οἰκτρόν*.

434. *μή τοι* Vienn. A. B. D. Med. Colb. 2. Regg. A. G. M. 2. Ar. Rob. Brunck. Glasg. Blomf., sed *μή τι* Reg. B. Ald. Turn. Vict., quod cum Schützio praefero. — *μηδ᾽* Colb. 2. Regg. A. B. G. M. 1. 2. Guelph. Brunck., sed reliqui omnes *μήτ᾽*, quod praestat.

436. *προσελούμενον* Vienn. A. B. D. Regg. A. B. G. Ald. Rob. Vict. *προσηλούμενον* Vienn. C. M. 1. 2. Guelph. *προσιλλούμενον* Garb. *προσσιλλούμενον* codd. ap. Steph. et Turn., qui e codd. *προσηλλούμενον* et *προσεούμενον* laudat. Metro ρ vulg. lectione labanti variis emendationibus subvenire voluerunt viri docti, quas omnes referre longum foret. Brunck., sequente Schützio, *προσἑλούμενον* dedit, positionem effici putans spiritu, qui consonantis loco sit. *προυσελούμενον* Glasg. et Blomf., quod mihi verum videtur, firmatum testimoniis Etym. M. v. *προσέληνοι*, quocum Schol. ad h. l. conferendus est, et Hesychii s. v. *προυσελεῖν*, quod in *προυγελεῖν* corruptum est.

438. *ἢ ἐγὼ* Rob.

439. *ἀλλὰ ταῦτα σιγῶ* Vienn. A. B. C. D. *ἀλλὰ ταῦτα μὲν σιγῶ* Reg. K. Ven. 2. — *οἰδυίαισιν* Ald. — Abresch. aut *ἂν* in *ἐν*, aut *καὶ* in *κἂν* mutandum putat, sine causa.

440. *τ᾽ ἂν* Ald. *τὰ* marg. MS. Morell. — *πταίσματα*, in Reg. B. suprascriptum, Brunck. et cum eo Schütz. receperunt, ut sensui aptius, sine causa.

Ἔννους ἔθηκα, καὶ φρενῶν ἐπηβόλους.
Λέξω δὲ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων,
Ἀλλ' ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος·
Οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,
Κλύοντες οὐκ ἤκουον· ἀλλ' ὀνειράτων
Ἀλίγκιοι μορφαῖσι, τὸν μακρὸν χρόνον
Ἔφυρον εἰκῆ πάντα, κοὔτε πλινθυφεῖς
Δόμους προςείλους ἦσαν, οὐ ξυλουργίαν·
Κατώρυχες δ' ἔναιον, ὥςτ' ἀήσυροι
Μύρμηκες, ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
Ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ,
Οὔτ' ἀνθεμώδους ἦρος, οὔτε καρπίμου
Θέρους βέβαιον· ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
Ἔπρασσον, ἔςτε δή σφιν ἀντολὰς ἐγὼ
Ἄστρων ἔδειξα, τάς τε δυςκρίτους δύσεις.

---

442. ἐπιβόλους Vienn. C. Guelph. Ar. Ald. Turn. Garb.

443. μέμιψιν Ald.

444. οἷσι δέδωκ' Reg. A. Colb. 2. ὧν ἔδωκ' Reg. K.

447. ἀλλίγκιοι Rob. ἀλίγκιον Ald. — βίον Ar. Viteb. Med. Colb. 1. Regg. C. D. F. G. K. L. N. Guelph. M. 1. 2. Ven. 1. 2. codd. ap. Steph.

448. κοὔτι Glasg. Blomf. sine causa; nam neque καὶ-οὔτε offenderet, etiamsi οὐ non sequeretur, v. Schaef. ad Dionys. de comp. p. 183., et οὔτε — οὐ saepissime sibi opponuntur, v. Schaef. ad Lamb. Bos. p. 229. et ad Soph. Oed. Col. 972. Elmsl. ad Eur. Heraclid. 615. — πλινθυεῖς Rob.

449. προςήλους Vienn. A. B. C. cod. ap. Turn. Ald. Rob. Vict., idem Vienn. D. sed suprascr. προςείλους, quod habent Regg. A. B. Colb. 2. M. 1. 2. codd. ap. Steph. Turn. Garb., idque, suadente Dawesio misc. crit. p. 272., receperunt Brunck. Glasg. Schütz. Blomf. — ἴσαν Vienn. B. D. Ald. Rob. Turn. Vict., sed ἦσαν Regg. A. B. C. D. E. F. H. K. N. Colb. 1. 2. M. 1. 2. Guelph., quod praeeunte Piersono ad Moer. p. 174. Brunck. et reliqui omnes receperunt. Non repudiarem formam homericam, nisi haec primam corriperet. v. Il. XVIII, 405. Od. IV, 772.

450. ἀείσυροι libri omnes, praeter M. 1. qui αἰείσυροι, et Vienn. B. Turn., qui ἀήσυροι praebent. Hoc, suprascriptum etiam in Regg. A. B., et confirmatum auctoritate Eustathii ad Od. IV. p. 150. recte receperunt Brunck. et rell. omnes.

454. γνώμαις Vienn. B.

455. ἀνατολὰς Vit. Vienn. B. D.

456. τὰς δὲ Vienn. C. — ὁδοὺς pro δύσεις Stob. Ecl. I. p. 4. Heer., quod praefert Herm. obss. critt. p. 18. iterum sermonem poeticum arctioribus vinculis constringens; et praeterea antecedens ἀντολὰς postulat δύσεις.

Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
Ἐξεῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
Μνήμην θ' ἁπάντων μουσομήτορ' ἐργάτιν.
Κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
Ζεύγλαισι δουλεύοντα· σώμασίν θ' ὅπως
Θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
Γένωνθ', ὑφ' ἅρματ' ἤγαγον φιληνίους
Ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
Θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
Λινόπτερ' εὗρε ναυτίλων ὀχήματα.
Τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας
Βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ', ὅτῳ
Τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.

---

457. *νοσφισμάτων* in libris quibusdam scriptum fuisse notat Schol. A.

458. Hunc et sequentem versum ita emendat Hemsterh. ad Lucian. T. I. p. 88.: *γραμμάτων τε σύνθεσιν μνήμης ἁπάντων μ. ἐ.*, quod in textum recepit Brunck. Eundem sensum faciliori mutatione restituturus, *θ'* post *μνήμην* delet Herm. obss. critt. p. 19. Sed argutiae sunt, quibus vulgatam damnant.

459. *ἐργάτιν* libri omnes, praeter Vienn. C., qui *ἐργάτην*, et Guelph., qui *ἐργάταν* habet; sed *ἐργάνην* ex Stobaeo receperunt Brunck. Schütz. Blomf., ut Atticum. Non assentior; non minus quam hic libri de hac voce consentiunt Soph. Philoct. 97.

460. *πρώτως* Colb. 1. *πρῶτ'* Rob.

461. *ζεύγλοισι* codd. ap. Steph. *ζεύγλῃσι* Regg. A. B. Vienn. A. B. C. D. Colb. 2. M. 1. Brunck. Schütz. sed *ζεύγλαισι* reliqui codd. Ald. Rob. Turn. Vict. Glasg. Blomf. — Punctum post *δουλεύοντα* vulgo abest, quare cum locus sensu careret, pro *σώμασιν* Brunckius *κέντροισιν*, Schütz. *σάγμασιν* reposuit, uterque v. 463. *ἅρμα τ'* invitis libris dedit. Interpunctionem, quam dedi, quamque in Comment. Aeschyl. p. 17. s. commendaveram, habent etiam Glasg. Blomf. — *σώμασί θ'* Guelph. Ald. Rob. Turn.

462. *θνητοί* Reg. G.

463. *γένωνθ'* libri omnes (*γίνωνθ'* Ven. 1. *γένωνται* Vienn. A. C.) sed *γένοινθ'* ex Dawesii canone (misc. crit. p. 272.) ediderunt Brunck. Glasg. Schütz. Blomf. Conjunctivum autem recte tuentur Herm. obss. critt. p. 20. sqq. Wunderl. p. 135. sqq. — *ἅρμα τ'* Turn. et sic Brunck. et Schütz. e conjectura, vid. ad v. 461., sed reliqui libri omnes *ἅρματ'*.

466. *εὗρεν* Ald. Rob. Turn. — *ναυλόχων* Med.

467. *ἐξεῦρον* Ven. 1. Rob., idem, sed suprascr. *ὼν*, Vienn. B. D.

468. *βροτοῖς* Rob. — *αὐτὸς δ' οὐκ* Vienn. D. Rob.

ΧΟΡΟΣ.

Πέπονθας αἰκὲς πῆμ᾽, ἀποσφαλεὶς φρενῶν·
Πλανᾷ, κακὸς δ᾽ ἰατρὸς ὥς τις, ἐς νόσον
Πεσὼν ἀθυμεῖς, καὶ σεαυτὸν οὐκ ἔχεις
Εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.

ΠΡΟΜΗΘΕΥΣ.

Τὰ λοιπά μου κλύουσα, θαυμάσῃ πλέον,
Οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.
Τὸ μὲν μέγιστον, εἴ τις εἰς νόσον πέσοι,
Οὐκ ἦν ἀλέξημ᾽ οὐδὲν, οὐδὲ βρώσιμον,
Οὐ χριστὸν, οὐδὲ πιστὸν, ἀλλὰ φαρμάκων
Χρείᾳ κατεσκέλλοντο, πρὶν ἐγώ σφισιν

---

470. ἀεικὲς libri omnes et Brunck. αἰκὲς Glasg. Schütz. Blomf., quam formam huic aliisque tragicorum locis vindicavit Seidler. de verss. dochm. p. 404. et in Soph. El. 199. 209. reposuit Hermannus.

471. πλάνα Ald. πλάνᾳ Turn. et codd. ap. Steph. πλανᾷ Vienn. A. B. D. Rob. Vict., sed doricam, ut putabant, formam evitaturi, Brunck. et Schütz. φρενῶν πλάνῃ dederunt, quod praebent Regg. B. M. 2. et Vienn. C. a manu secunda. Vulg. φρενῶν πλανᾷ sine commodo sensu retinent Glasg. Blomf. Sed interpunctionem post φρενῶν exhibent Ald. Rob. quam recepi, idemque conjectura assecutus est Reisig. ad Oed. Col. p. 367., asyndeton apte defendens. — κακῶς Viteb. — ὅστις Ven. 1. M. 1. 2. Guelph. codd. ap. Steph. Ald. Rob. ὥστε Viteb.

472. σαυτὸν Vienn. B. D.

473. ἰάσιμον Colb. 2. Barocc. Ald.

474. μοι Colb. 2. Reg. L. M. 1. Guelph. Viteb. — θαυμάσῃ libri omnes, praeter Turn., qui θαυμάσεις habet. θαυμάσει edd. post Brunckium.

475. τέχνας τὶ Turn. — δόλους Vienn. A. B. C. D. Ald. Turn. Vict. Cant. Stanl. Glasg. πόρους Regg. A. B. H. M. 1. 2. Med. Colb. 1. Ar. Ph. Rob. Brunck. Schütz. Blomf., quod sensus commendat.

476. ἐς νόσον ex Reg. A. B. receperunt Brunck. Schütz., idem praebent Colb. 2. M. 1. Ven. 2., rell. omnes εἰς νόσον.

477. οὔτε βρώσιμον M. 2. idque ex Regg. A. B. recepit Brunck., ex Ar. Blomf. sine causa.

478. οὔτε πιστὸν Blomf. ex Ar. improbante etiam Elmslejo ad Eur. Heraclid. 615. οὐ πιστὸν Colb. 1. M. 2. οὐ ποτιστὸν Reg. H, marg. MS. Morell. παστὸν conjecit Gaulminus ad Psell. de Oper. Daem. p. 124. probantibus Garb. Pauw. et Morell., sed ipse mutavit sententiam ad Eumath. de Ism. amor. p. 17. Vulg. tuetur Eustath. ad Il. Δ. p. 464. Od. Z. p. 1554., et defendit Hemsterh. ad Aristoph. Plut. 717. Valck. ad Hippol. 516.

479. χρείαν Guelph. Colb. 2., sed ibi χρείᾳ suprascr. χρεία sequente commate Ald. Rob. — πρὶν ἐγὼ libri omnes, praeter

Ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
Αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
Τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοίχισα,
Κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
Ὕπαρ γενέσθαι, κληδόνας τε δυςκρίτους
Ἐγνώρισ' αὐτοῖς· ἐνοδίους τε συμβόλους
Γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
Διώρισ', οἵτινές τε δεξιοὶ φύσιν,
Εὐωνύμους τε, καὶ δίαιταν ἥντινα
Ἔχουσ' ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
Ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι·
Σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
Ἔχοντ' ἂν εἴη δαίμοσι πρὸς ἡδονὴν,
Χολῆς, λοβοῦ τε ποικίλην εὐμορφίαν,
Κνίσσῃ τε κῶλα συγκαλυπτὰ· καὶ μακρὰν
Ὀσφὺν πυρώσας, δυςτέκμαρτον εἰς τέχνην
Ὥδωσα θνητούς· καὶ φλογωπὰ σήματα
Ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.
Τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς

Reg. G. N. Ar. M. 2. Guelph. Rob., quod metri causa recepit Blomf. πρὶν ἂν ἐγὼ eadem de causa Brunck. ex conj. Vulgatum recte tenent Glasg. Schütz., πρὶν enim saepius producitur, v. Comment. Aeschyl. p. 68.

480. κερασμάτων marg. MS. Morell. et suprascr. in Reg. B.

481. ἐξαμείβονται Guelph. Barocc. codd. ap. Steph. Ald. ἐξαμύνονται obelo notavit Pors.

483. πρῶτον Colb. 2.

486. γαμψονύχων Guelph.

487. τε deest Guelph. Viteb. Ald. Rob.

488. εὐώνυμοι vulg. et sic Brunck. Glasg. Schütz. Blomf., sed εὐωνύμους Regg. G. H. K. L. N. Vienn. A. B. C. D. Ar. Ox. Colb. 1. 2. Ven. 1. M. 1. 2. Barocc. Ald. Turn., quod non dubito, quin sit praeferendum, quum vel prosae orationis scriptores ita loquantur. Xenoph. Cyrop. II, 1, 4. τί οὖν οὐ καὶ τὴν δύναμιν ἔλεξάς μοι, πόση τις ἡ προσιοῦσα, καὶ πάλιν τὴν ἡμετέραν;

489. ἔχουσιν Guelph.

490. στέργητρα Med. M. 1. θέλγητρα Reg. G. Colb. 2. Ph. — συνοδίαι Guelph. ξυνεδρίαι Vict. Brunck. Schütz. Blomf.

491. σπλάγνων Ald.

492. δαίμοσιν Glasg. Schütz. Blomf. invitis libris.

494. κνίσῃ contra libros Blomf.

495. ὀσφὴν Ald. ὀφρῦν Ar.

496. ἔδωσα Vienn. C. sed in marg. ὤδωσα. — θνητὰ Viteb. sed suprascr. θνητοὺς.

498. δῆτ' ἔνερθε Colb. 1. δὴ ταῦτα. ἐν. Rob. Ald. — ἔνερθεν M. 1. 2. Guelph. Vienn. A. C.

Κεκρυμμέν᾽ ἀνθρώποισιν ὠφελήματα,
Χαλκὸν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς
Φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
Οὐδεὶς, σάφ᾽ οἶδα, μὴ μάτην φλῦσαι θέλων.
Βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,
Πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.

ΧΟΡΟΣ.

Μὴ νῦν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
Σαυτοῦ δ᾽ ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ
Εὔελπίς εἰμι τῶνδέ σ᾽ ἐκ δεσμῶν ἔτι
Λυθέντα, μηδὲν μεῖον ἰσχύσειν Διός.

ΠΡΟΜΗΘΕΥΣ.

Οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος
Κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς
Δύαις τε καμφθεὶς, ὧδε δεσμὰ φυγγάνω·
Τέχνη δ᾽ ἀνάγκης ἀσθενεστέρα μακρῷ.

ΧΟΡΟΣ.

Τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;

ΠΡΟΜΗΘΕΥΣ.

Μοῖραι τρίμορφοι, μνήμονές τ᾽ Ἐριννύες.

ΧΟΡΟΣ.

Τούτων ἄρ᾽ ὁ Ζεύς ἐστιν ἀσθενέστερος;

---

500. Colon post *ἄργυρον* habet Turn. — *χρυσὸν δὲ* Med. Colb. 1. 2. M. 1. 2. Guelph. Ven. 2. Ar. Ald. Turn.

502. *οἶδ᾽, εἰ μὴ* Reg. G. Colb. 1. Viteb. cod. ap. Turn.

503. *λόγῳ* Vienn. A. D. — *ταῦτα* Med. M. 2. Ven. 1. Ar. Barocc. — *συλλήβην* Viteb. — *μάθοις* Colb. 1. 2. M. 2. Guelph. Viteb.

504. *θνητοῖσιν* M. 2. Ar.

505. *μή νυν* auctore Porsono Blomf., male, loquitur enim Chorus de iis, quae nunc facienda sunt. — *χαιροῦ* Ald.

507. *τῶνδ᾽ ἐκ* Ald.

508. *μεῖον᾽* Garb. — *ἰσχύσει* Guelph.

509. *ταύτῃ* Ald. Rob. — *τελεσφόρων* Ald. *μοίρᾳ πω τελεσφόρῳ* Vienn. B.

510. *κρῆναι* Ald. Rob. Garb. *κράναι* Turn. — *δὲ* abest Guelph.

511. *φυγγανῶ* Vienn. A. C. et sic Brunck. Schütz., sed praesens praestat, ut v. 523.

514. *Ἐρινύες* Med. et cum eo Blomf.

515. *ἆρα Ζεὺς* Colb. 1. Ar. M. 2. Vienn. B. C. Rob. *ἄρα Ζεὺς* Ven. 1. 2. Viteb. Vienn. A. cod. ap. Turn. Glasg. Blomf. *ἄρ᾽ ὁ Ζεὺς* Ald. *ἄρ᾽ ὁ Ζεὺς* reliqui.

ΠΡΟΜΗΘΕΥΣ.

Οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.

ΧΟΡΟΣ.

Τί γὰρ πέπρωται Ζηνὶ, πλὴν ἀεὶ κρατεῖν;

ΠΡΟΜΗΘΕΥΣ.

Τοῦτ᾽ οὐκ ἂν οὖν πύθοιο, μηδὲ λιπάρει.

ΧΟΡΟΣ.

Ἧπου τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.

ΠΡΟΜΗΘΕΥΣ.

Ἄλλου λόγου μέμνησθε, τόνδε δ᾽ οὐδαμῶς
Καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
Ὅσον μάλιστα· τόνδε γὰρ σώζων ἐγὼ,
Δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.

ΧΟΡΟΣ.

Μηδάμ᾽ ὁ πάντα νέμων — στρ. ά.
Θεῖτ᾽ ἐμᾷ γνώμᾳ κράτος
Ἀντίπαλον Ζεὺς,
Μηδ᾽ ἐλιννύσαιμι θεοὺς ὁσίαις
Θοίναις ποτινισσομένα
Βουφόνοις, παρ᾽ Ὠκεανοῖο πατρὸς
Ἄσβεστον πόρον,

---

516. *ἐκφύγῃ τε* Reg. G. Colb. 1. Ven. 1. M. 2. *ἐκφύγοι τε* Ald. *ἐκφύγοιτο* Vienn. B. *ἐκφύγῃ* sine particula Reg. L. Ar. *ἐκφύγῃ γε* Ven. 2.

518. *οὖν* abest Viteb. Vienn. B. Colb. 1. Guelph. — *οὐκ ἔτ᾽ ἂν* Colb. 2. M. 1. 2. Vienn. A. C., et sic jam Brunck., nescio qua auctoritate, et Blomf., sed vulg. praestat.

520. *τόνδ᾽ οὐδαμοῖς* Guelph. Viteb. cod. ap. Turn.

521. *χαιρὸς* Rob. — *συγκαλυπτέον* Guelph. Colb. 2. sed suprascr. *ος*.

522. *τάχιστα* Reg. L. M. 1.

523. *βίας* Reg. G. Colb. 1. M. 1. 2. codd. ap. Turn. Rob. — *ἐκφυγγανῶ* Vienn. A. C. Brunck. Schütz. vid. v. 511.

525. *θεῖτο* Reg. G. Colb. 2. M. 2. Viteb. Ald. Rob. — *γνώμῃ* Ald.

527. *ἐλινύσαιμι* Rob. Brunck. Schütz. Blomf. ut v. 53. — *ὁσίους* Reg. G. *ὁσία* legendum putat Schütz., refutatus a Vossio cur. crit. p. 8.

529. *βουφόνοισι* Reg. G. — *Ὠκεανοῦ* Regg. G. H. Colb. 1. 2. Ven. 1. 2. M. 1. Ar. Viteb. Guelph. Ald. Rob., idque reponi jubet Herm. ad Orph. 724. quia Tragicis sit usitatius, sed neque Genitivus in *οιο* rarior est, et ut retineatur vulgata lectio, metrum suadet.

Μηδ' ἀλίτοιμι λόγοις·
Ἀλλά μοι τόδ' ἐμμένοι,
Καὶ μήποτ' ἐκτακείη.
Ἡδύ τι θαρσαλέαις ἀντ. ά.
Τὸν μακρὸν τείνειν βίον
Ἐλπίσι, φαναῖς
Θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις.
Φρίσσω δέ σε δερκομένη,
Μυρίοις μόχθοις διακναιόμενον.
* * * * * *
Ζῆνα γὰρ οὐ τρομέων,
Ἰδίᾳ γνώμῃ σέβῃ
Θνητοὺς ἄγαν, Προμηθεῦ.
Φέρ' ὅπως ἄχαρις στρ. β'.
Χάρις, ὦ φίλος, εἰπέ που τίς ἀλκά;
Τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης

---

532. τόδ' ἐμμένει Reg. K. M. 2. τόδε μένοι Ald. Turn. Vict., sed τόδ' ἐμμένοι Regg. A. B. Colb. 2. M. 1. Guelph. Ar. codd. ap. Turn. Rob. Brunck. Glasg. Schütz. Blomf.

533. μήποτε τακείη Colb. 1.

534. ἡδύ τοι Vienn. A. — θαρσαλέοις Ald. Turn.

535. τείνειν deest in Colb. 1. sed suprascr. διεξάγειν, τίνειν.

536. Virgulam post φαναῖς habent Reg. D. M. 1., quod placet Bomfieldio, sed aptius cum sequentibus jungitur.

537. ἀλλδαίνουσαν Rob. ἀλδαινούσαις Turn.

538. δερκομένα Regg. A. B. G. M. 1. Ven. 2. Guelph. et, qui doricas formas in choricis fere semper reponunt, Brunck. Schütz. Blomf., sed δερκομένη cum reliquis codd. Ald. Rob. Turn. Vict. Per totum fere hoc carmen ionismi regnare videntur, quos restitui, ubi libri eos praebebant.

542. Ex vulg. lectione, quam dedi, versus strophico non respondet, quod silentio transeunt Schütz. et Brunck., primus animadvertit Heathius, qui ἀλλὰ in strophico primam corripere putat, inepte. Morell. ex Schol. ἐν ἰδίᾳ recipi jubet, quod fecit Blomf., neque melius quidquam ipse video; mutare tamen nihil sum ausus. — γνώμᾳ Mosqu. 1. Schütz. Blomf. — σέβει invitis libris Glasg. Schütz. Blomf.

543. θνητοὺς Ald. Rob., quos secutus sum; reliqui θνατοὺς.

544. χάρις ἄχαρις Med. Colb. 1. 2. M. 1. 2. Guelph. Ald. Rob. Vict.

545. εἰπὲ, ποῦ τις ἀλκά; ex Stephani conjectura Brunck. Schütz. Blomf., sed vulg. propter sequens τίς praestat.

546. τίς δ' Rob. — ἐφαμέρων Guelph. Mosqu. 2.

Ὀλιγοδρανίην ἄκικυν,
Ἰσόνειρον, ᾧ τὸ φωτῶν
Ἀλαὸν * * * γένος ἐμπεποδισμένον;
Οὔποτε τὴν Διὸς ἁρμονίαν
Θνητῶν παρεξίασι βουλαί.
Ἔμαθον τάδε, σὰς ἀντ. β'.
Προσιδοῦσ' ὀλοὰς τύχας, Προμηθεῦ.
Τὸ διαμφίδιον δέ μοι μέλος προςέπτα
Τόδ', ἐκεῖνό θ' ὅ, τ' ἀμφὶ λοετρὰ
Καὶ λέχος σὸν ὑμεναίουν
Ἰότητι γάμων, ὅτε τὰν ὁμοπάτριον
Ἕδνοις ἤγαγες Ἡσιόναν
Πιθὼν δάμαρτα κοινόλεκτρον.

---

547. ὀλιγοδράνειαν Colb. 1. ὀλιγοδρανίαν Med. M. 2., quod ex Regg. A. B. recepit Brunck., quem secuti sunt Schütz. et Blomf. ὀλιγοδρανίην cum rell. codd. Ald. Rob. Turn. Vict. ὀλιγοδρανοῦσαν Guelph. et cod. ap. Turn. — ἄκι κηνισόνειρον Ald.

548. αἷς Colb. 1. Ald. ᾗ Guelph.

549. Lacunam explere voluerunt Burnejus legendo ἀλαῶν ἀλαοῖς γένος, Blomf. post ἄκικυν inserendo ἰσχὺν, utrumque futile. Verosimilius est, quod putat Schütz., verbum finitum excidisse, quocum participium ἐμπεποδισμένον jungendum sit. — Interrogationis notam in fine versus, quae vulg. abest, posuerunt Brunck. Schütz. Blomf.

550. τὴν Ald. Rob.

551. τῶν θνητῶν Guelph. θνητῶν Ven. 1. 2. Ald. Rob., rell. θνατῶν.

553. προϊδοῦσ' codd. ap. Steph.

555. ἐκεῖν' ὅτε τότ' Med. ἐκεῖν' ὅτ' M. 1. ἐκεῖν' ὅτε τ' Ven. 2. ἐκεῖνό γε ὅτ' Rob. ἐκεῖνό τ' ὅτ' Turn. ἐκείνω τε ὅ, τ' Ald. ἐκεῖνό τε ὅ, τ' Reg. G. Colb. 2. Guelph. ἐκεῖνό θ' ὅτ' Brunck. Schütz. Blomf. Rectius cum Ald. aliisque Glasg. ὅ, τ', a relativo ὅστε. — λοῦτρά τε M. 1. λοῦτρα Regg. A. G. K. Colb. 2. Rob. Brunck. Glasg. Schütz. Blomf. sed λοετρά τε Turn. Vict. λοετρὰ cum rell. codd. Ald.

556. τόσον Regg. K. L. σοὶ Guelph. — ὑμεναίων Ald.

557. ἰότατι Reg. A. Viteb. Med. Colb. 2. (in hoc tamen η suprascr.) Brunck. etc. — τὰν Regg. A. B. Med. Colb. 2. Ven. 1. 2. M. 1. 2. Ald. Rob. Turn. Brunck. etc.

558. ἄγαγες Regg. A. B. Vit. Med. Colb. 2. M. 2. Rob. Brunck. Schütz. Glasg. Blomf., sed ἤγαγες Ald. Turn. Vict. cum rell. codd. Ἡσιόνης Colb. 2. sed ην in marg. Ἡσιόνην Vict. Ceterum hunc versum ante verba ὅτε τὰν ὁμοπάτριον transponunt Ald. Rob. Turn., hic tamen verum ordinem ex cod. laudat.

559. πείθων Med.

ΙΩ.

Τίς γῆ; τί γένος; τίνα φῶ λεύσσειν
Τόνδε χαλινοῖς ἐν πετρίνοισιν
Χειμαζόμενον; τίνος ἀμπλακίης
Ποινὰς ὀλέκῃ; σήμηνον, ὅπη
Γῆς ἡ μογερὰ πεπλάνημαι.
Ἆ ἆ, ἔα ἔα·
Χρίει τις αὖ με τάλαιναν οἶστρος,
Εἴδωλον Ἄργου γηγενοῦς, ἄλευ᾽ ὦ δᾶ,
Φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν.
Ὁ δὲ πορεύεται δόλιον ὄμμ᾽ ἔχων,
Ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει.

---

560. γῆ Ald. Rob. Turn. Vict. γᾶ Brunck. etc. ut semper. — λεύσσειν ἐμὲ Reg. G.

561. χαλινοῖσιν Med. Ald. Rob. χαλινοῖσι M. 1. 2. Colb. 2. Guelph. — πετρίνοισι Ven. 1. Ald. Rob. Turn. Vict., post quod vocabulum addunt ὀρείοις Regg. K. L. M. 2. Guelph. Colb. 1. Ven. 2. τοῖς ὀρείοις M. 1. Colb. 2. Ar. Ox. Reg. H. Ald. Rob. τοῖσιν ὀρείοις Turn. sed glossema esse recte intellexit Stephanus, quem secuti reliqui edd. omiserunt.

562. ἀμπλακίης Vienn. A. B. C. D. Ald. Rob. Vict. Turn., quod recepi. ἀμπλακίας Regg. A. B. Colb. 2. quod dedit Brunck. ἀπλακίης Glasg. ἀπλακίας Schütz. Blomf.

563. ποινὰς Vienn. A. C. Colb. 1. 2. Reg. D. M. 1, codd. ap. Steph. Ald., quod ut exquisitissimum recepi, praesertim quum idem velle videantur Vienn. B. D. Ar. Barocc. Turn. qui ποινᾶς habent. ποινῆς Reg. E. ποιναῖς rell. codd. Rob. Vict. Brunck. Schütz. Glasg. sed praefixo obelo. ποινά σ᾽ ὀλέκει conjecit Steph., quod recepit Blomf., nisi quod ποινή dedit, subito ad ionicas formas deflectens. — ὀλέκει contra libros omnes Brunck. Glasg. Schütz. Blomf. ὀλέσῃ Colb. 2. — ὅπα γᾶς ἁ Brunck. Schütz., libris fere omnibus obstrepentibus. ὅποι Med. Guelph., quod probat Elmsl. ad Eur. Heracl. 19. vulgatum contra tuente Reisigio ad Soph. Oed. Col. p. 176. γᾶς Reg. H. γᾶς ἁ Vienn. A. γῆς ἁ Vienn. C.

565. ἒ ἒ, Med. Colb. 1. Reg. H., ubi ἆ ἆ adjicitur.

566. τὰν τάλαιναν, jubente Elmslejo Blomf., et sic M. 2. τὴν τάλαιναν Reg. G. M. 1. — οἴστροις codd. ap. Steph.

567. εἴδωλον γὰρ Ἄργου codd. ap. Turn. — γένους Ven. 2. — Ἀλευάδα M. 2. Reg. G. Schol. Ἄλευ ἄδα Reg. H. ἄλευ ἆ δᾶ codd. ap. Turn. Reg. N. idemque conjecit Valck. ad Phoen. 1304. ἄλευε δᾶ legi voluit Arnald., ut senarius evadat.

568. φοβοῦμαι abest Vienn. B. D. — εἰσιδοῦσα Regg. C. G. Colb. 2. Vienn. B. D. εἰσορῶ Vienn. A. C.

569. δολερὸν M. 2. Ar., quod placet Blomf.

570. καταθανόντα Colb. 1.

Ἀλλά με τὰν τάλαιναν
Ἐξ ἐνέρων περῶν κυνηγετεῖ,
Πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμον.
Ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας   στρ.
Ὑπνοδόταν νόμον·
Ἰὼ ἰὼ, πόποι,
Πῶ πῶ πῶ· πῆ μ' ἄγουσι τηλέπλανοι πλάναι.
Τί ποτέ μ', ὦ Κρόνιε παῖ, τί ποτε ταῖσδ'
Ἐνέζευξας εὑρὼν
Ἁμαρτοῦσαν ἐν πημοναῖσιν; ἒ ἔ,
Οἰστρηλάτῳ δὲ δείματι δειλαίαν
Παράκοπον ὧδε τείρεις;

---

571. ἀλλ' ἐμὲ Brunck. Schütz. contra librorum omnium auctoritatem.

572. περνῶν Barocc. — κυναγετεῖ Brunck. Schütz. invitis libris omnibus.

574. Qui sequuntur versus hic primum in stropham et antistropham divisi prodeunt, quo primus digitum intendit Herm. ad Aristot. de arte poet. p. 143. et El. metr. p. 768., quamquam, quomodo singulos versus legat, non ostendit. Sed vere eum de hoc loco monuisse, ex eo maxime patet, quod sine ulla fere mutatione responsionem restituere licet. — ἀττοβεῖ vulg., sed ὀτοβεῖ, quod metrum poscit, Med. Glasg. Blomf.

575. ὑπνοδότην Vienn. C. Reg. K. ὑπνόδοτ' ἄνομον Guelph.

576. ἰὼ ἰὼ, ποῖ ποῖ vulg. ἰὼ ἰὼ πὸ ποῖ πὸ ποῖ cod. ap. Turn., unde certum est, quod, suadente metro, cum Seidlero de verss. dochm. p. 84. recepi. — ἰὼ ἰὼ reliquis omissis Blomf.

577. πῶ ποῖ πῶ ποῖ Guelph. Vienn. A. C. πῶ quater Ox. bis Regg. K. L. Ven. 2. πόποι πόποι Reg. N. Med. M. 1. 2. Colb. 1. Ar. codd. ap. Steph. Blomf. Vulg. retineri potest, respondet enim in antistropha creticus. cf. Herm. El. metr. p. 273. — ποῖ Reg. K. L. Ven. 2. Brunck. Schütz., sed πῆ rell. codd. Ald. Rob. Turn. Vict. πᾷ Blomf. — τηλέπλανοι pro vulg. τηλέπλαγκτοι ex conjectura reposui, quam certissimam puto tum propter metrum antistrophici, tum propter similitudinem v. 587., ubi libri inter πολύπλαγκτοι et πολύπλανοι variant. — πλάνοι vulg. sed πλάναι Regg. A. B. G. K. L. Colb. 1. 2. M. 1. Vienn. A. B. C. D. Guelph. Mosqu. 1., quod cum Brunck. Schütz. Blomf. recepi, tum ad vitandum ὁμοιοτέλευτον, tum ob v. 587., ubi omnes libri in πλάναι consentiunt.

578. τίς ποτέ μ' Ald. Rob. τί μ' Med. M. 1. 2. Regg. K. L. Colb. 1. 2. — Ante ταῖσδ' vulg. τί ποτε bis positum est, sed alterum omittunt Regg. K. L. Med. Colb. 1. 2. Ven. 2. Brunck. Blomf., quod nunc jam metrum quoque antistrophici delendum esse ostendit.

579. ἀρὼν Ald.

580. αἶ, αἶ, ἒ ἒ Reg. G.

581. δείγματι Guelph.

582. παράκοτον M. 1. παράσκοπον Guelph.

Πυρί φλέξον, ἢ χθονὶ κάλυψον, ἢ
Ποντίοις δάκεσι δὸς βοράν,
Μηδέ μοι φθονήσῃς
Εὐγμάτων, ἄναξ.
Ἄδδην με πολύπλανοι πλάναι
Γεγυμνάκασ᾽, οὐδ᾽ ἔχω μαθεῖν, ὅπη
Πημονὰς ἀλύξω.

ΧΟΡΟΣ.

Κλύεις φθέγμα τᾶς βούκερω παρθένου;

ΠΡΟΜΗΘΕΥΣ.

Πῶς δ᾽ οὐ κλύω τῆς οἰστροδινήτου κόρης
Οἰδίπους, μαθὼν ὡς ἀθέσμως συνῆν τῇ μητρὶ, ἐτύφλωσεν ἑαυτόν· οἱ δὲ παῖδες αὐτοῦ Ἐτεοκλῆς καὶ Πολυνείκης, θέλοντες λήθῃ παραπέμψαι τὸ τοιοῦτον μίασμα, ἐγκατακλείουσιν οἰκίσκῳ αὐτόν. ὁ δὲ, τοῦτο μὴ φέρων, ἀρᾶται αὐτοῖς διὰ σιδήρου τὴν βασιλείαν λαχεῖν. οἱ δὲ εἰς φόβον πεπτωκότες ἐνταῦθα, μὴ τὰς ἀρὰς τελέσωσιν οἱ θεοὶ, ἔγνωσαν δεῖν ἔχεσθαι τὴν βασιλείαν παρὰ μέρος, ἑκάτερος ἐνιαυτὸν ἄρχων. πρῶτον οὖν Ἐτεοκλῆς ἦρξεν, ἅτε καὶ πρεσβύτερος ὢν Πολυνείκους, εἰ καὶ Σοφοκλῆς νεώτερον λέγει. Πολυνείκης δὲ ὑπεχώρησε. τελεσθέντος δὲ τοῦ συγκειμένου ἐνιαυτοῦ, ἐπειδὴ Πολυνείκης ἐλθὼν ἀπήτει τὸ σκῆπτρον, οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ ἀπεπέμφθη κενὸς παρ' Ἐτεοκλέους, οὐ βουλομένου ἐκστῆναι τῆς ἀρχῆς, ἀλλ' ἐγκρατῶς ἐχομένου ταύτης. ὅθεν καὶ Πολυνείκης ἐκεῖθεν ἀπάρας, εἰς Ἄργος ἔρχεται, καὶ τὴν Ἀδράστου θυγατέρα γήμας, πείθει τοῦτον συνάρασθαί οἱ πρὸς τὴν τῆς ἀρχῆς ἀνάληψιν· καὶ λαβὼν παρ' αὐτοῦ συχνὴν στρατιὰν, ἀφικνεῖται κατὰ Θηβαίων. ἦρχον δὲ τῆς τοιαύτης ἀρχῆς μετὰ Πο-

1. Hoc argumentum, quod in cod. M. 1. legitur, vulgati loco posuit Blomfield.

λυνείκους ἑπτὰ στρατηγοί, ἕβδομος γὰρ οὗτος ἦν, ὡς ἂν πρὸς τὰς ἑπτὰ πύλας τῶν Θηβῶν ἕκαστος ἐπαγάγοι λόχον πολιορκοῦντα. οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ ὑπὸ Θηβαίων ἀνηρέθησαν ἐν τῷ πολέμῳ· Πολυνείκης δὲ καὶ Ἐτεοκλῆς μονομαχήσαντες πρὸς ἀλλήλους, ἀναιροῦσιν ἀλλήλους. σημείωσαι δὲ ὡς Εὐριπίδης μὲν ἕνα τῶν ἑπτὰ τὸν Ἄδραστον λέγει· Αἰσχύλος δὲ ἕτερον τὸν ἑπτὰ[2] Ἐτέοκλον, ἀντὶ Ἀδράστου προςθείς.

---

2. ἑπτὰ delendum putat Buttler., τῶν ἑπτὰ dedit Blomf.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΕΤΕΟΚΛΗΣ.
ΑΓΓΕΛΟΣ ΚΑΤΑΣΚΟΠΟΣ.
ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ.
ΙΣΜΗΝΗ.
ΑΝΤΙΓΟΝΗ.
ΚΗΡΥΞ.

Προλογίζει δὲ Ἐτεοκλῆς, παρασκευάζων τὸν τῶν Θηβαίων δῆμον εἰς φρουρὰν τῆς πόλεως.

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΣ.

ΕΤΕΟΚΛΗΣ.

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια,
Ὅςτις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως
Οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
Εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεῶν·
Εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι,
Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν
Ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις,
Οἰμώγμασίν θ', ὧν Ζεὺς ἀλεξητήριος
Ἐπώνυμος γένοιτο Καδμείων πόλει.
Ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι

2. Comma post πρύμνῃ in Ald. Rob. Vict. positum recte omittunt Ar. Ox. Turn. et recentiores omnes, jubente sensu et Platone Euthyd. 48. (p. 291. D.), ubi hic versus laudatur. — πόλει Reg. C.

4. Vim optativi πράξαιμεν recte explicarunt Herm. ad Vig. p. 831. et Erf. ad Soph. Oed. T. 664. ed. min. — θεοῦ Regg. E. G. H. K. L. Med. Colb. 1. 2. Ven. 1. 2. Guelph. Ar. Ox. Vienn. B. C. D. cod. ap. Turn., quod recepit Blomf., quia aliis etiam locis singularis usurpetur; quod nihil probat.

5. δ' αὖ ὃ Vienn. A. B. C. D.

6. Ἐτεοκλῆς Vienn. A. B. C. D. Ven. 1. Guelph. Ald. Rob. — ὢν εἷς Reg. G. M. 1. ἂν εἷς ὢν Ven. 1. Guelph. Ald. Rob. — πόλιν Ald. Rob.

7. ὑμνεῖθ' Ald. et codd. Thom. M. v. Κῶμας. ὑμνεῖται Eustath. ad Il. Z. p. 634. et ad Dionys. 1181. — παλιῤῥόθοις emend. Valck. ad Phoen. 1346. idque recepit Brunck., sine causa. Vulg. tuetur etiam Eustath. ad Il. l. c.

8. οἰμώγμασί θ' Guelph. M. 1. 2. Ald. Rob. Turn. — ἀλεξιτήριος Colb. 2. Guelph. Vienn. B. C. D. Ald. Rob. Turn.

10. νῦν abest a Guelph.

Ἥβης ἀκμαίας, καὶ τὸν ἔξηβον χρόνῳ,
Βλάστημον ἀλδαίνοντα σώματος πολὺν,
Ὥραν τ᾽ ἔχονθ᾽ ἕκαστον, ὥςτε συμπρεπὲς,
Πόλει τ᾽ ἀρήγειν, καὶ θεῶν ἐγχωρίων
Βωμοῖσι, τιμὰς μὴ ᾽ξαλειφθῆναί ποτε·
Τέκνοις τε, γῇ τε μητρὶ, φιλτάτῃ τροφῷ·
Ἡ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
Ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον,
Ἐθρέψατ᾽ οἰκιστῆρας ἀσπιδηφόρους
Πιστοὺς; ὅπως γένοισθε πρὸς χρέος τόδε.

---

12. *βλάστιμον* M. 2. Vienn. B. C. D. Mosq. 1. 2. Ald. *βλάστιμόν τ᾽* Vienn. A. Rob. *βλάστημόν τ᾽* codd. ap. Steph., quae copula ut retineri possit, Steph. *βλάστημά τ᾽ — πολὺ* conjecit, sed sensus eam non patitur. — *πολλὴν* Mosq. 1. 2. Vienn. A. B. C. D. Colb. 1. M. 2. Guelph. Ald. *πολὺ* M. 1. Reg. C.

13. *ὥραν θ᾽* Ald. Turn. *ὥραν* omissa copula Colb. 1. M. 1. Regg. A. B. Ox. Mosq. 1. 2. Guelph. Rob., quos sequuntur Brunck. et Schütz., hic tamen in notis *ὥραν τ᾽* proponit, utrumque male, sensus enim est: *et impuberes et senes urbi succurrere oportet, dum quisque corporis vigorem intendit, roborisque florem tenet, ut decet.* — *ἕκαστον ἔχοντα* Mosq. 1. 2. Ald. Rob. — *ὥς τις* Mosq. 2. *ὥς τι* reliqui libri omnes, sine sensu, ut videtur. *ὥςτε* conjecit Stanl., quem sequuntur Brunck. Glasg. Schütz. Blomf. Schwenk., assentiente Schol., qui *καθάπερ* interpretatur.

14. *πόλιν τ᾽ ἀγείρειν* Reg. C.

15. Comma post *βωμοῖσι* vulg. abest, puncto post *ποτε* posito; utrumque recte mutarunt Brunck. et Schütz. — *μὴ ᾽ξαλειφῆναι* Guelph. Mosq. 2.

16. *τέκνοισί τε* Guelph. Ald. Regg. C. N. *τέκνοισί γε* Mosq. 2. — *τροφῶν* Mosq. 2.

17. *ἃ γὰρ* Reg. A. *ἣ γὰρ* Reg. B. Turn. Brunck. Glasg. Schütz., accentu addito, quia demonstrativi loco positus sit articulus, quod non probo; manet enim articulus idem, etiamsi pro demonstrativo usurpatur, et accentu carere vel propter relativum debet, a quo distinguendus est.

18. *προσδοκοῦσα* Guelph. Vienn. A. C. *δοκοῦσα* Colb. 2. — *παιδίας* ex Vict. in reliquas omnes edd. migravit, sed *παιδείας* Med. M. 1. 2. Ox. Guelph. Vienn. A. B. D. Ald. Rob. Turn., quod ridicula de causa respuit Schütz., spondaeum quinta senarii sede ferri non posse ratus. Recepi, ut sensui aptius, cf. Wunderl. obss. critt. p. 20. sq. Idem probat Schwenk. et Blomf.

19. *οἰκηστῆρας* Guelph. *οἰκητῆρας* Mosq. 2., quod verum putat Schütz., quia *οἰκιστῆρες* sint *coloni*, bene refutatus a Schwenkio. — *ἀσπιδοφόρους* Rob.

20. *γένησθε* Guelph. Mosq. 2. Vienn. A. B. C. D. Ald. Turn., quod verum videri possit, cf. Prom. 463.

Καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
Χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις,
Καλῶς τὰ πλεῖω πόλεμος ἐκ θεῶν κυρεῖ.
Νῦν δ' ὡς ὁ μάντις φησὶν, οἰωνῶν βοτὴρ,
Ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν, πυρὸς δίχα,
Χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
Οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
Λέγει μεγίστην προςβολὴν Ἀχαΐδα
Νυκτηγορεῖσθαι, κἀπιβουλεύσειν πόλει.
Ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
Ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
Πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασι
Πύργων στάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοις
Μίμνοντες, εὐθαρσεῖτε, μηδ' ἐπηλύδων
Ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.

---

21. *μὲν* abest Ven. 1. Ald. Barocc.

22. *ἤδη* abest Mosq. 2. — *τάνδε* Ald. — *πυργυρουμένοις* Reg. L. Guelph. M. 1.

23. *καλὸς* M. 2. — *πολέμως* Reg. L. — *κυροῖ* Reg. K.

24. In verbis *οἰωνῶν βοτὴρ* explicandis infelix est Schütz., qui propterea sic vocari Tiresiam putat, quia aves cicures aluerit, ex quibus auspicia caperet, nec felicior Schwenk., qui ab avibus carne sacrificiorum alendis hoc nomen eum traxisse opinatur. Recte vidit Wunderl. p. 193. eum *avium dominum* vocari, quatenus ex iis vaticinandi facultatem habebat.

25. *νωμῶ* Rob. — *φρεσὶ* Guelph. M. 1. 2. Rob. — Verba *πυρὸς δίχα* male ita explicat Schütz., ut Eteoclem putet monere, Tiresiam propter caecitatem ex igne vaticinari non posse, quod et loquentis personae atque consilio minus aptum foret, et per se falsum est, quia Tiresiam ex igne quoque vaticinatum esse patet ex Soph. Antig. 995. sqq. Monet igitur Eteocles, eum tum non ex igne sed ex avibus futura praedixisse.

26. *ἀψευδῆ* Mosq. 1. 2.

27. *δεσπότης τοιῶνδε* Colb. 1. — De constructione mutata vid. Herm. de ellips. et pleon. in Mus. antiq. stud. I, p. 207.

28. *Ἀχαιΐδα* M. 1. 2. Reg. B., quam scribendi rationem ut antiquiorem receperunt Brunck. Schütz. Schwenk., sed reliquorum omnium librorum lectionem retinui. cf. Seidl. ad Eur. Troad. 674. El. 1282.

29. *κἀπιβουλεύειν* Regg. G. L. Ven. 2. M. 1. Guelph. Mosq. 2. Vienn. A. C. Ar. et recepit Blomf. sine causa.

30. *εἴς τ'* Blomf. Atticista. — *πυργημάτων* Mosq. 2.

32. *σέλμασιν* Med.

33. *πόλλων* Guelph.

34. *εὖ θαρσεῖτε* Turn. Glasg.

Σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
Ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾷν ὁδῷ·
Καὶ τῶνδ' ἀκούσας, οὔτι μὴ ληφθῶ δόλῳ.

ΑΓΓΕΛΟΣ.

Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ,
Ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων,
Αὐτὸς κατόπτης δ' εἴμ' ἐγὼ τῶν πραγμάτων·
Ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται,
Ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος,
Καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,
Ἄρην, Ἐνυὼ, καὶ φιλαίματον Φόβον
Ὡρκωμότησαν, ἢ πόλει κατασκαφὰς
Θέντες, λαπάξειν ἄστυ Καδμείων βίᾳ,
Ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
Μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν ἐς δόμους
Πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ
Λείβοντες· οἶκτος δ' οὔτις ἦν διὰ στόμα.

---

36. *κατοπτῆρα* Med.

38. *οὔτοι* Mosq. 2. Vienn. C. — *λειφθῶ* Ald. et codd. ap. Turn.

39. *Ἐτέοκλες* Vienn. B. D. Ald. Rob. *Ἐτεοκλῆς* Vienn. A. — *ἄριστε* Vienn. C.

40. *σαφῶς τἀκεῖθεν* Reg. G. *σαφῆ τε τὰ 'κεῖθεν* Ox. *τ' ἀκεῖθεν* Ald.

41. *κατόπης* Ald. — *εἰμ'* Rob.

43. *σάκκος* M. 1. Obelum apposuit Glasg.; fortasse propter lectionis varietatem in codd. Longini de sublim. c. 15., quorum unus *εἰς μέλαν σε τοῦ κύκος*, alius *εἰς μέλαν σε τὸ τα σακος* habent, unde ex Blomf. sententia *κύτος* aliquis eruere possit; sed in *σάκος* consentiunt, qui, eodem notante, praeter Longinum hunc versum laudant Aristid. T. II. p. 317. Stob. VII, 86. Schol. Barocc. in Eur. Orest. 819. Schol. Aristoph. Lysistr. 189.

44. *χερσὶν* Ald. Rob. — *ταυρίου* Ald. Turn.

45. *Ἄρην τ'* Colb. 1. 2. M. 1. 2. Ox. Vienn. A. B. C. D. Ald. Rob. *Ἄρη τ'* Med. Ar. Vatic. 1. *Ἄρρη τ'* Guelph. — *φόνον* M. 1. Ar. Vienn. B. Rob. et suprascr. *β* Colb. 2.

46. *ὑρκωμώτησαν* Ald.

47. *βίᾳ* deest M. 1.

48. *φυράσσειν* M. 2. Ox.

49. *σημεῖα δ'* Stob. l. c. — *εἰς δόμους* Med. Stob. l. c. *ἐν δόμοις* Colb. 1.

50. *πρὸς ἅρματ'* Reg. K. Colb. 1. Ven. 1. *πρὸς δ' ἅρμ'* Regg. C. G. Guelph. Ox. Rob. — *χεροῖν* Guelph. Vienn. A. Ald. Rob.

51. *διὰ στόματος* Colb. 1. *ἀνὰ στόμα* Stob. l. c.

Σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
Ἔπνει, λεόντων ὡς Ἄρην δεδορκότων.
Καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται,
Κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
Ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
Πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
Πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος·
Ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς
Χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
Χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων.
Σὺ δ' ὥστε νηὸς κεδνὸς οἰακοστρόφος,
Φράξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
Ἄρεος· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ·
Καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λάβε·
Κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον
Ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου

---

52. ἀνδρίᾳ M. 2.

54. τῷδε Rob. Stob. l. c. — πίστις Colb. 2. Rob. Stob., idque recepit Schütz., (quem etiam τῷδε dare voluisse ex nota patet) probante Wunderl. p. 21. Sed vulg. cum versu sequente melius cohaeret. — οὐχ Ald. Rob.

55. ἔλιπον Regg. A. B. Guelph. M. 2. Ox. Vienn. A. C. D. Ald. Rob., hinc Brunck. dedit κληρουμένους γὰρ ἔλιπον, quum γὰρ in Reg. B. suprascr. repperisset, sed si ἔλιπον propter librorum auctoritatem praeferendum est, melius legi potest κληρουμένους δ' ἔλιπον, ὅπως; facile enim *ΟΠ* praecedente *ΟΝ* absorberi potuit.

56. πύλαις codd. ap. Turn. — ἄγη Mosq. 1. et suprascr. οι Colb. 1. ἄγῃ Reg. L. Colb. 2. M. 2. Vienn. A. B. D. ἄγει Vienn. C.

58. τάγευσ' ὡς τάχος Ven.

60. κονιεῖ Ald. — ἀργιστὴς Guelph.

61. πνευμάτων Guelph. Mosq. 2. Vienn. A. C. πνευμόνων rell. libri omnes, sed πλευμόνων Brunck. Schütz. ex praecepto Atticistarum.

62. ναὸς Med. Colb. 2. Glasg. Blomf. idemque Porsonus et Elmsl. restituerunt Eur. Med. 523., ubi eadem verba leguntur.

64. χερσαίου codd. ap. Steph. Reg. C. Ald. Rob. Turn. et suprascr. in M. 2. — στρατοῦ abest Mosq. 1.

65. τόνδε M. 1. Ox. Guelph. Mosq. 2. Vienn. B, D. Ald. Turn. et suprascr. in Mosq. 1. Idem suprascr. ω Colb. 1. — χαιρὸν Ald. — ὥς τις Guelph. Vienn. B. Rob.

67. σαφηνείᾳ Reg. B. Ox. M. 2. Rob., quod pro vulg. σαφηνίᾳ receperunt Brunck. Glasg. Schütz. Schwenk. Blomf., recte, ut videtur, quia formas pleniores et graviores amat Aeschylus.

Εἰδὼς τὰ τῶν θύραθεν, ἀβλαβὴς ἔσῃ.

ΕΤΕΟΚΛΗΣ.

Ὦ Ζεῦ τε καὶ Γῆ, καὶ πολισσοῦχοι θεοί,
Ἀρά τ' Ἐριννὺς πατρὸς ἡ μεγασθενής,
Μή μοι πόλιν γε πρυμνόθεν πανώλεθρον
Ἐκθαμνίσητε δηάλωτον, Ἑλλάδος
Φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
Ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
Ζυγοῖσι δουλείοισι μήποτε σχέθειν·
Γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
Πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

ΧΟΡΟΣ.

Θρεῦμαι φοβερὰ μεγάλ' ἄχη,

---

68. *εἰδὼς σὺ τὰ* Ald. Rob. Barocc.

69. *πολισοῦχοι* Vienn. A. B. C. D.

71. *μου* Rob. — *τὴν πάλιν* omisso *γε* Vienn. B. D. — *πρευμνόθεν* M. 2. — *μήτοι πόλιν γε* legendum videtur Elmslejo ad Eur. Med. 175. male.

72. *ἐκθαμνήσητε* M. 1. — *δηϊάλωτον* vulg. quod retinuit Schwenk., in anapaesto non offendens. *δηάλωτον* Brunck. Glasg. Schütz. Blomf.

73. *δήμους* Mosq. 2. Ald.

74. *τε γῆν δὲ* Colb. 1. *τε γῆν τε* Ald. Barocc. — *Κάδμου* ad *γῆν* quoque pertinet, quamquam ab eo sejunctum, cujus collocationis exempla habet Elmsl. ad Eur. Heraclid. 131.

75. *δουλείοισι* Colb. 1. Guelph. M. 2. Regg. A. B. C., quod pro vulg. *δουλίοισι* receperunt Brunck. Glasg. Schütz. Schwenk. vid. ad v. 67. Blomf. autem *δουλίοισι* retinuit, exemplis scilicet probans, alibi hanc formam legi. *ζεύγλῃσι δουλείῃσι* Regg. G. H. Barocc. Vienn. B. D. Rob.

76. *γένοισθε* Vienn. B. D. — Abest hic versus Mosq. 2. — De voc. *ξυνὰ* v. Lobeck. ad Aj. 180.

77. *θεοὺς* pro *δαίμονας* Barocc. 2.

78. Carmen quod sequitur totum in strophas et antistrophas primus divisit Seidl. de verss. dochm. p. 181. sqq., sed non sine magnis mutationibus et improbante Herm. El. metr. p. 751., cui maxima carminis pars monostrophica esse videtur. Id quidem certum mihi videtur, v. 78—92. proodum esse, quae comparari quodammodo possit cum anapaestis dimetris, saepe antistrophica carmina praecedentibus; tota enim dochmiacis dimetris decurrit, et clauditur v. 92. dochmio cum cretico, qui paroemiaci instar est. Deinde autem alternans singulorum Deorum invocatio de antistrophica ratione nos commonefacere videtur, quae tamen adeo obscura est, ut manum abstineam. Seidleri lectiones et Lachmanni, qui *de chor. syst.* p. 81. sqq. strophas a v. 111.

Μεθεῖται στρατὸς στρατόπεδον λιπών,
Ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας·
Αἰθερία κόνις με πείθει φανεῖσ',
Ἄναυδος, σαφὴς, ἔτυμος ἄγγελος·
Ἐλεδεμνὰς πεδιοπλόκτυπος
Ὠσὶ χρίμπτεται βοὰ, ποτᾶται, βρέμει δ'
Ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου.

---

incipit, in calce libri exhibebo, eis tantum Seidleri mutationibus statim sub textu allatis, quae non antistrophicae responsionis causa factae sunt. — θρεῦμαι, quod pro vulg. θρέομαι Regg. C. L. Guelph. M. 2. Mosq. 1. 2. Vienn. A. C. Seld. praebent, cum Seidlero, Lachmanno, Schwenkio et Herm. El. metr. p. 277. recepi. Blomf. θροῦμαι dedit. — μεγάλα τ' ἄχη M. 1. Ven. 2. Guelph. Mosq. 2. Colb. 1. 2. Vienn. A. B. C. D. Reg. G. Rob. Schütz. Blomf., sed copulam, quam reliqui libri omittunt, neque sermo poeticus neque versus, qui est dochmiacus, admittit. μεγάλα sine ἄχη, quod additum recenti manu M. 2.

80. πολὺς δ' ὧδε vulg. πολὺς ὧδε Regg. A. B. Guelph. M. 1. 2. Mosq. 2. Brunck. Glasg. Schütz. Blomf. sed πολὺς ὅδε, quod metrum poscit, ex Reg. L. Mosq. 1. Colb. Seld. Rob. recepi, loci enim significatio demonstrativo inest. cf. Schaef. melet. crit. p. 77. s. Eodem modo ὧδε pro ὅδε vel οἶδε in libris quibusdam legitur Soph. Oed. Col. 111. Eurip. Orest. 342. — λαὸς M. 1. Reg. G.

81. κόνις με Schütz. ex errore typ. ut videtur. — φανεῖσα Guelph. Ald. Turn.

82. σαφὴς δ' Colb. 1. Vienn. C. — ἕτοιμος Mosq. 2.

83. ἐλιδεμνὰς Rob. ἐλεδεμνὰς, quod reliqui libri omnes habent, non graecum judicat Hermannus, in quo non dissentio, nec habet, quod opponat, Seidlerus; quod enim putat metri causa illud pro ἐλέδεμας scriptum esse, recte refutavit idem El. metr. p. 45. Ἐλέδεμας autem, quod Herm. p. 269. ingeniose proponit, metro etiam aptius est, puto enim hunc et sequentem versum ita legendos esse:

ἐλέδεμας βοὰ πεδιοπλόκτυπος
ὠσὶ χρίμπτεται, ποτᾶται, βρέμει δ'·

Pro πεδιοπλόκτυπος Seidlerus πεδί' ὁπλόκτυπ', Herm. l. c. πεδί' ὁπλοκτύπος, nescio quo sensu, dedit; sed compositionem illam ab Aeschyli grandiloquentia non absonam puto.

84. ὠτὶ χρίμπτεται βοὰ Mosq. 1. ὠτὶ χρίμπταται βοὰ Mosq. 2. τε ὠτὶ χρίμπτεται βοὰ Regg. G. H. K. Ven. 2. ὥστε χρίμπτεται βοὰ Colb. 1. τ' ὠσὶ χρίμπτεται βοὰ Regg. A. B. Brunck. τ' ὠσὶ βοὰ χρίμπτεται Schütz. Reliqui ὠσὶ omittunt, et sic legunt: τὶ χρίμπτεται βοᾷ Med. τε χρίμπτεται βοᾷ M. 1. Ven. 1. Ald. Turn. Barocc. Seld., nisi quod hi duo βοὰ habent. δὲ χρίμπτεται βοὰ Colb. 1. ἐγχρίμπτεται βοᾷ Rob. τ' ἐγχρίμπτεται βοὰ Vict. Glasg. βοὰ χρίμπτεται Blomf.

85. ἀμαιμακέτου Ven. — ὀροκτύπου vulg., sed ὀροτύπου

Ἰὼ, ἰὼ, ἰὼ, ἰὼ, ἰὼ θεοὶ
Θεαί τ᾽ ὀρόμενον κακὸν ἀλεύσατε.
Βοᾷ ὑπὲρ τειχέων ὁ λεύκασπις ὄρ-
νυται λαὸς εὐπρεπὴς, ἐπὶ πόλιν διώκων.
Τίς ἄρα ῥύσεται, τίς ἄρ᾽ ἐπαρκέσει
Θεῶν ἢ θεᾶν; πότερα δῆτ᾽ ἐγὼ
Ποτιπέσω βρέτη δαιμόνων;
Ἰὼ μάκαρες εὔεδροι,
Ἀκμάζει βρετέων
Ἔχεσθαι. τί μέλλομεν ἀγάστονοι;
Ἀκούετ᾽ ἢ οὐκ ἀκούετ᾽ ἀσπίδων κτύπον;
Πέπλων καὶ στεφέων
Πότ᾽, εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν;
Κτύπον δέδορκα, πάταγος οὐχ ἑνὸς δορός.

Med. Reg. L. Ven., quod metri causa recepi. Idem habet Schwenk. et Blomf.

86. *ἰὼ ἰὼ θεοὶ θεαί τ᾽* Colb. 1. *ἰὼ ἰὼ ἰὼ ἰὼ θεοὶ, ἰὼ θεαί τ᾽* Colb. 2. Seld. Reg. K. Ven. 2. M. 2. *ἰὼ ἰὼ ἰὼ θεοὶ, ἰὼ ἰὼ θεαί τ᾽* M. 1. *ἰὼ ἰὼ ἰὼ θεοὶ, ἰὼ θεαί τ᾽* Guelph. *ἰὼ ἰὼ ἰὼ θεοὶ θεαί τ᾽* Rob. *ἰὼ ἰὼ ἰὼ ἰὼ θεοὶ θεαί τ᾽* rell.

87. *ὀῤῥόμενον* Reg. G. Guelph. M. 1. Vienn. A. B. C. D. codd. ap. Steph.

88. *βοὰ* Seld. codd. ap. Steph.

89. *λεὼς* Blomf. — *εὐπρεπὴς* vulg. *εὐτερπὴς* M. 1. *εὐτρεπὴς* Med. M. 2. Mosq. 2. codd. ap. Steph. Rob. ex rasura Reg. G. et simul cum vulg. Regg. A. B., quod receperunt Brunck. Glasg. Schütz. Blomf., quamquam vulgatae sensus non deterior est, quam tuetur etiam Schwenk.

90. *ἄρα* M. 1. — *ἄρ᾽* M. 1. *ἄρ᾽* omittunt Colb. 2. Barocc. Seld. Guelph. Ven. 1. Ald.

91. *θεῶν ἢ θεᾶν* om. Colb. 1. *θεῶν ἢ θεαινῶν* Colb. 2. Viteb. Vienn. B. D. *θεῶν ἢ θεαινᾶν* M. 1. 2. codd. ap. Turn. et suprascr. in Mosq. 1. *τῶν θεῶν ἢ θεαινᾶν* Rob. *θεῶν ἢ θεᾶν ὧν* Reg. H. *θεᾶν ἢ θεῶν* Guelph.

95. *δ᾽ ἔχεσθαι* Colb. 1. M. 2. Mosq. 1. Viteb. Rob. Turn. *δ᾽ ἔσχεσθε* Regg. G. K. Vienn. A. C. Ald. *ἔχεσθε* Guelph. — *τί* om. Mosq. 2.

96. *ἀκούετε ἢ* Vienn. B. Mosq. 1. — *οὐκ ἀκακούετ᾽* Ald. — Ab hoc versu apud Blomf. incipit *τριὰς α΄*, cui respondet *τριὰς β΄* inde a v. 99.

98. *εἰ* Ald. — *λιτὴν* Rob. *λίταν᾽* dedit Seidl., quod admodum placet.

99. *δέδορπα* Rob. — *πάταγος δ᾽* M. 2. Ven. 2. Guelph. Mosq. 1. Reg. A. *πάταγον δὲ* Colb. 2. *πάταγον δ᾽* Barocc. Ald. Turn. *πάταγόν τ᾽* Rob. Vict. *πάταγος* omisso *δ᾽* Mosq. 2. sed *πάταγος* omissa copula Regg. B. H. K. L. N. Med. Colb. Ar. M. 1., quod recte receperunt Brunck. Glasg. Schütz.

Τί ῥέξεις, προδώσεις, παλαίχθων
Ἄρης τὰν σὰν γᾶν;
Ὦ χρυσοπήληξ δαῖμον, ἔπιδ᾽ ἔπιδε πόλιν,
Ἄν ποτ᾽ εὐφιλήταν ἔθου·
Θεοὶ πολισσοῦχοι χθονὸς,
Ἴτ᾽ ἴτε πάντες,
Ἴδετε παρθένων ἱκέσιον λόχον
Δουλοσύνας ὕπερ.
Κῦμα γὰρ περὶ πτόλιν
Δοχμολόφων ἀνδρῶν καχλάζει πνοαῖς
Ἄρεος ὀρόμενον.
Ἀλλ᾽ ὦ Ζεῦ πάτερ παντελὲς

---

100. *παλαῖχθον* Regg. A. B. Rob., quod male receperunt Brunck. Glasg. Schütz., est enim versus bacchiacus.

101. *γᾶν τεὰν* Viteb. *τὰν τεὰν* Seld. *τὰν γῆν τεὰν* Colb. 1. *τὰν τεὰν γῆν* Ven. 2. *τάν τε ἂν γῆν* Reg. K. *τάν τε ἂν γᾶν* Med. Reg. L. *τὰν τεὰν γᾶν* Regg. A. B. M. 1. 2. quod receperunt Brunck. Glasg. Schütz. Schwenk., quo facto hic etiam versus bacchiacus foret, ut praecedens, sed malui vulg. *τὰν σὰν γᾶν* retinere, quod Vienn. A. C. Ald. Rob. Turn. Vict. praebent, quodque confirmatur lectione *τὴν σὴν γῆν*, quae est in Mosq. 1. Vienn. B. D. Sic versus erit dochmiacus, quem daret etiam lectio *Ἄρης γᾶν τεάν*. — Blomf. responsionis triadum suarum causa legit:

τί ῥέξεις, παλαῖχθον Ἄρης προδώσεις τὰν τεὰν γᾶν;

102. *χρυσοπήλυξ* Guelph. codd. ap. Steph. Ald. Rob. Turn. *χρυσεοπήληξ* Regg. F. N. Seld. M. 1. Colb. 2. — *ἔπιδ᾽ ἔπιδε πτόλιν* Rob. *ἔπιδ᾽ ἔπιδ᾽ ἐπὶ πόλιν* M. 1. 2. Ven. 2. Guelph. Vienn. A. C. *ἔπιδ᾽ ἐπὶ πόλιν* Mosq. 1. 2. — *τὰν πόλιν* Reg. C., quod recepit Blomf.

103. *ποτ᾽ εὐφιλήτην* Mosq. 2. *ποτὲ φιλήταν* M. 1. *ποτὲ φιλιτίαν* Seld.

104. *πολισοῦχοι* Seld. Mosq. 2. *πολιοῦχοι* superscripta vulgata Viteb. *πολιάοχοι* Med. Reg. L. *πολιοῦχοι* recepit Blomf.

105. *ἴθιτε* Ald. *ἴθ᾽ ἴτε* Ox. Vienn. B. C. D. Viteb. Vict. Schol. *ἴδετε* Turn. idque recepit Blomf., Burneium, ut in toto fere hoc carmine, secutus.

106. *παρθένον* Ald. — *ἱκέσιον* Guelph. — *ὄχλον* Colb. 1.

107. *δουλοσύνης* vulg. sed *δουλοσύνας* Reg. A. Med. Mosq. 1. M. 1. 2. Guelph. Brunck. Glasg. Schütz. Seidler. Schwenk.

108. *πόλιν* Viteb. Barocc. Ald.

109. *δοχμυλόχων* Guelph. *δοχμολοφᾶν* Brunck. e conj., quem sequitur Schütz. sine causa. — *καγχλάζει πνοαῖσιν* Rob. *πνοαῖς καγχλάζει* Ald.

110. *ἄρεως* Viteb. — *ὀῤῥόμενον* Colb. 2. M. 1. 2. Guelph. Vienn. A. B, C. D. Viteb, Ald. Rob.

Πάντως ἄρηξον δαΐων ἅλωσιν.
Ἀργεῖοι γὰρ πόλισμα Κάδμου
Κυκλοῦνται· φόβος δ' ἀρηΐων ὅπλων·
Διάδετοι δὲ γενύων ἱππείων
Κινύρονται φόνον χαλινοί.
Ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ
Δορυσσόοις σάγαις, πύλαις ἑβδόμαις
Προςίστανται, πάλῳ λαχόντες.
Σύ τ' ὦ Διογενὲς, φιλόμαχον κράτος,
Ῥυσίπολις γενοῦ Παλλὰς, ὅ, θ' ἵππιος
Ποντομέδων ἄναξ,
Ἰχθυβόλῳ μηχανᾷ Ποσειδᾶν

---

112. *ἀῤῥηξον* Colb. 1. *ἐπάρηξον* Vienn. B. D. Reg. E.

113. *δὲ* pro *γὰρ* Reg. L.

114. *γὰρ ἠΐων* Ald. *γὰρ ἀρηΐων* Barocc. *ἀργείων* Mosq. 2. sed suprascript. *ἀρηΐων*. — *ἀρήων* metri causa scribendum putat Buttler., *ἀρείων* Atticismi causa dedit Blomf., sed vid. Seidl. p. 100. Böckh. ad Pind. Pyth. VIII, 56.

115. *διὰ δέ τοι γενύων* Reg. L. Barocc. Ald. *διάδετοι γενύων* Colb. 1. Guelph. M. 2. Vienn. A. B. C. D. Viteb. Turn. *διάδετοί τε γενύων* Rob. *διάδετοι δὲ γενύων* rell. Versus constat antispasto cum dochmio, *γενύων* enim per synizesin bisyllabum est. — *ἱππίων* Mosq. 2. *ἱπτίων* Viteb. *ἱππικῶν* Blomf.

116. *κιννύρονται* M. 1. 2. Mosq. 2. — *φόβον* M. 1. 2. Ar. Vienn. A. Mosq. 2. Colb. 2., ubi *ν* suprascr., Rob. Turn. codd. ap. Steph. *φόβου* Reg. G. *φόβῳ* Colb. 1. *φόνων* suprascr. *ον* Mosq. 1. *φόνον* rell. Schwenk. *φόβον* recepit, quod neque sensus causa, neque propter antecedens *φόβος* aspernatus essem, nisi vulg. majore librorum auctoritate niteretur.

117. *προπέμπονται* pro *πρέποντες* codd. ap. Steph. Rob.

118. *δορυσσόοις* vulg., sed *δορυσόοις*, quod metrum postulat, ex M. 2. et Thom. M. v. *ἑβδόμῃ* recepi. *δορυσώοις* Mosq. 2. *δορυσσοῖς* Blomf., qui exemplis allatis semper per *σσ* hoc vocabulum scribi contendit. Sed, ubi metrum postulabat, etiam breviore forma uti poëtis licebat, ut *θεόσυτος* pro *θεόσσυτος* et similia. vid. ad Prom. 116. — *πύλαισιν* ex conjectura reposuit Brunck., quia *δορυσσόοις* legens versum senarium esse putabat, et obsecutus est Schütz., sed dochmiacus est dimeter. — *ἑβδόμοις* Guelph. *εὐδόμαις* Ald. De *ἑβδόμαις* pro *ἑπτὰ* posito vid. Herm. ad Vig. p. 720., a quo dissentit Valck. de Aristobul. p. 120.

120. *κρᾶτος* Ald. Rob.

121. *ῥυσίπτολις* vulg., sed *ῥυσίπολις* Mosq. 1., quod versus poscit, qui iterum est dochmiacus dimeter, et sic jam Glasg. Blomf. Schwenk. dederunt. — *ἵππειος* Seld. Reg. N. Colb. 1. M. 2. Ald. Rob.

122. *ποντομέδων δ'* Mosq. 1.

123. *ἰχθυβόλων* Mosq. — *μα-*

Ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου.
Σύ τ' Ἄρης, φεῦ φεῦ, Κάδμου ἐπώνυμον
Πόλιν φύλαξον, κήδεσαί τ' ἐναργῶς.
Καὶ Κύπρις, ἅτε γένους προμάτωρ,
Ἄλευσον. σέθεν γὰρ ἐξ αἵματος
Γεγόναμεν· λιταῖσι σε θεοκλύτοις
Ἀπύουσαι πελαζόμεσθα.
Καὶ σὺ Λύκει' ἄναξ, Λύκειος γενοῦ
Στρατῷ δαΐῳ, στόνων ἀϋτᾶς·
Σύ τ' ὦ Λητογένεια κοῦρα,

χανᾷ Regg. B. L. Viteb. M. 1. Brunck. et omnes post eum. — Ποσειδᾶν Med. Vit. Brunck. et rell. sed in talibus vulg. sequi malui, praesertim si, ut hic, omnium fere librorum auctoritate nititur.

124. φόβον vulg. φόνων Reg. L. M. 2. et suprascr. φόβου Med. φόβων Regg. A. B. C. G. H. K. Guelph. Ar., quod hiatus vitandi causa recte receperunt Brunck. et rell. omnes. — ἐπίλυσιν om. Mosq. 1.

125. φεῦ φεῦ extra versum positum putat Seidl. p. 195., quod recte improbat Reisig. conjectan. I. p. 285. Versus dochmiacus dimeter esse videtur, prima syllaba vocabuli Ἄρης producta, quod item fit infra 226. 326. et 461. cf. Doederl. spec. Soph. p. 19.

126. κήδευσαί τ' Guelph. κήδευσέ τ' Mosq. 2. κηδέσθητ' Mosq. 1. suprascr. κήδεσαί τ'.

127. γένος Viteb.

128. γὰρ vulg. abest, sed legitur in Regg. A. B. G. K. Colb. 1. Seld. M. 1. 2. In Schützii textum eo invito irrepsit, videtur enim ei adversus metrum esse, sed et sensus poscit et versus, qui est dochmiacus dimeter.

129. θυγατρὸς ante γεγόναμεν Reg. K. — λιταῖσι pro vulg. λιταῖς ex Hermanni conj. Schütz. Seidler. Blomf. Schwenk. recte.

130. αὔτουσαι legendum putat Seidl. p. 196., ut idem sit versus, qui saepe in hoc carmine occurrit, ex antispasto cum penthemimeri iambica compositus, quod probabile est, nec tamen quidquam mutare ausus sum, praesertim, quum deinde πελαζόμεθα habeant Colb. 1. Reg. L. M. 2. Ox. Mosq. 1. 2. Vienn. A. B. C. D. Viteb. Ald. Rob. Turn. — Schwenk. in ἀπύουσαι produci υ putat.

131. Λύκι' Colb. 2. M. 1. 2. Guelph. Mosq. 1. Viteb. Vienn. A. B. C. D. Ald. — λυκεῖ Ald. ὡς λύκος Med.

132. τῷ στρατῷ τῷ δαΐῳ Guelph. Mosq. 2. στρατῷ δαΐῳ γενοῦ Vienn. B. D. — αὐτᾶς vulg. quod cum sensu carere videretur, a Stanlejo in αὐτὰς, a Schützio in ἀΐσας, a Seidlero in Λητῴας mutatum est. Brunck. Blomf. Schwenk. vulg. retinent et omisso ἕνεκα explicant. Mihi placet ἀϋτὰς, ut sit accusativus absolutus, quod habent Mosq. 1. et suprascr. η M. 2. Praeterea ἀητᾶς Mosq. 2.

133. σύ τ' om. Ald. Turn. — Λατογένεια Med. M. 1. et suprascr. η Colb. 2, Λαταγένεια Reg. K. — κούρη Guelph. et suprascr. α Mosq. 1.

Τόξον εὖ πυκάζου,
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἒ.
Ὄττοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω,
Ὦ πότνι᾽ Ἥρα·
Ἔλακον ἀξόνων βριθομένων χνόαι,
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἒ.
Δορυτίνακτος αἰθὴρ ἐπιμαίνεται.
Τί πόλις ἄμμιν πάσχει, τί γενήσεται;
Ποῖ δ᾽ ἔτι τέλος ἐπάγει θεός; ἒ ἒ ἒ ἒ.
Ἀκροβόλων δ᾽ ἐπάλξεων λιθὰς ἔρχεται.
Ὦ φίλ᾽ Ἄπολλον,
Κόναβος ἐν πύλαις χαλκοδέτων σακέων,
Καὶ Διόθεν πολεμόκραντον ἁ-
γνὸν τέλος. ἐν μάχαισί τε μάκαιρ᾽ ἄνασσ᾽,
Ὄγκα πρὸ πόλεως

---

134. *ἐνπτυκάζου* suprascr. *υ* Med.

135. ἒ ἒ Schütz.

136. *ὄτοβον* invitis libris Brunck. Glasg. Schütz. Blomf. Schwenk. sine causa. *τὸ ἀκροζόνιον ὄττοβον* Vit. — *πτόλιν* M. 1. — Ab hoc versu apud Blomf. *στροφὴ ά* incipit, quam sequitur *ἀντ. ά* inde a v. 143.

137. *πότνια* vulg. *πότνι᾽* recte legunt Seidl. et Herm. El. metr. p. 229., quos sequitur Schwenk. et Burneio auctore Blomf.

139. ἒ ἒ ἒ Mosq. 2. ἒ ἒ Schütz.

140. *δορυτίνακτος δ᾽* vulg. sed *δ᾽* recte om. Colb. 2. Glasg. Blomf., est enim prorsus otiosum et metro adversatur. — *ἐπιμένεται* Mosq. 1.

141. *καὶ πόλις* Guelph. — *ἄμμι* Colb. 2., quod sine causa receperunt Glasg. Schütz. Seidl. Blomf., metro enim non adversatur vulg., quum haec dochmii forma satis frequens sit. v. Seidl. p. 35. sq. — *τί γεννήσεται* Ald. *καὶ γεννήσεται* Mosq. 2.

142. *πῆ* Vienn. B. C. D. Mosq. 1. ex glossa ortum, *ποῖ* enim idem significat, v. Schaef. ad Soph. Oed. Col. 227. — *ποῖ δέ τοι* Reg. G. M. 2. *ποῖ τι* Rob. *ποῖ* omisso *δ᾽ ἔτι* Guelph. *ποῖ δὲ τέλος ἔτ᾽* corrigit Seidl. p. 124., ut versus sit numerosior, creticum putans, quem Herm. El. metr. p. 268. paeonem habet.

144. *φίλτατ᾽* Rob.

146. *ἐκ διόθεν* Rob. — *πολεμόκρατον* Colb. 1. M. 1. — *τέλος ἁγνὸν* Burneio auctore Blomf., qui tamen reponendum censet *ἄγων τέλος.*

147. *μάχαιρ᾽* Ald. — *ἐν μάχαις. σύ τε μάκαιρ᾽* ex Hermanni conj. Seidl., non opus. *ἔν τε μάχαις μάκαιρ᾽* Blomf., Burneium secutus.

148. *Ὄγγα* Mosq. 1. om. Blomf. — *πρὸ πόλεως* deest Seld. Reg. K. et in M. 2. a recenti manu additum.

Ἑπτάπυλον ἕδος ἐπιῤῥύου.
Ἰὼ παναλκεῖς θεοί, στροφή.
Ἰὼ τέλειοι τέλειαί τε γᾶς
Τᾶσδε πυργοφύλακες,
Πόλιν δορίπονον μὴ προδῶθ᾽
Ἑτεροφώνῳ στρατῷ.
Κλύετε παρθένων, κλύετε πανδίκους
Χειροτόνους λιτάς.
Ἰὼ φίλοι δαίμονες, ἀντιστρ.
Λυτήριοι ἀμφιβάντες πόλιν,
Δείξαθ᾽ ὡς φιλοπόλις,
Μέλεσθε δ᾽ ἱερῶν δημίων,
Μελόμενοι δ᾽ ἀρήξατε·
Φιλοθύτων δέ τοι πόλεος ὀργίων.

---

149. *ἐπιρύου* Ald. Barocc.

150. Quae sequuntur in stropham et antistropham divisit Hermanno auctore Schütz., quem recte secutus est Schwenk., est enim in his responsio perspicua. Blomfieldio est *στροφὴ* et *ἀντ. β΄*. *παναρκεῖς* Med. codd. ap. Turn.

151. *ἰὼ* deest M. 2. sed suprascr. recenti manu. — *τέλειάς τε* Rob. *θεαὶ τέλειαί τε* Mosq. 1.

152. *τᾶσδέ γε* Med.

153. *δορύπονον* Vienn. A. B. C. D. Guelph. M. 1. Ald. Rob. Turn. — *πρόδοθ᾽* Rob.

154. Deest syllaba, quare Schütz. sequente Schwenkio *μοι* ante *στρατῷ* inseruit, sed nihil mutare audeo cum Seidlero, qui haec refert: *Pro ἑτεροφώνῳ Hermannus aliud antiquitus vocabulum lectum esse suspicatur, veluti ἑτεροβάγμονι.* Blomf. suspicatur *ἑτεροφώνῳ γε στρατῷ*.

155. *πανδίκως* Colb. 1. Ven. 1. Regg. C. N. Ald. Turn., quod recepit Schütz. Blomf. Idem Mosq. 1., sed suprascr. *πανδόκους* et *γρ. πανδήμους*. Rell. *πανδίκους*, quod retinuit etiam Seidl., (cui tamen *πανδόκους* probari videtur) et Schwenk. probatque Wunderl. p. 22.

158. *λυτήριοι ἀμφιβάντες* hiatum efficit intolerabilem, quare Seidl. *τ᾽* inseruit, quod tamen displicet.

159. *φιλοπόλιες* vulg. *φιλοπόλιδες* Reg. L. sed *φιλοπόλις* Ald., quod recte recepit Schütz. *φιλοπόλεις* scripsit Seidl., quem sequitur Blomf. Schwenk. probante, ut videtur, Lobeck. ad Phryn. p. 607. Idem jam suaserat Wunderl. p. 19. qui formam ionicam nescio qua de causa respuendam dicit.

160. *μέλεσθ᾽ ἱερῶν* vulg. *μέλλεσθ᾽ ἱεροῖν* Guelph. *μέλλεσθέ θ᾽ ἱερῶν* Colb. 2. *μέλεσθε δ᾽ ἱερῶν* Colb. 1. Mosq. 1. Rob., quod metro postulante receperunt Schütz. Seidl. Schwenk. *μέλεσθέ θ᾽ ἱερῶν* Blomf.

161. *μελλόμενοι* Ald. Rob.

162. *πόλεος* pro vulg. *πόλεως* recte rescripsit Seidlerus, quod

Μνήστορες ἔστε μοι.

ΕΤΕΟΚΛΗΣ.

Ὑμᾶς ἐρωτῶ, θρέμματ' οὐκ ἀνασχετά,
Ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια,
Στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
Βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν,
Αὔειν, λακάζειν, σωφρόνων μισήματα;
Μήτ' ἐν κακοῖσι, μήτ' ἐν εὐεστοῖ φίλῃ
Ξύνοικος εἴην τῷ γυναικείῳ γένει.
Κρατοῦσα μὲν γὰρ, οὐχ ὁμιλητὸν θράσος,
Δείσασα δ', οἴκῳ καὶ πόλει πλέον κακόν.
Καὶ νῦν πολίταις τάςδε διαδρόμους φυγὰς
Θεῖσαι, διεῤῥοθήσατ' ἄψυχον κάκην·
Τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλετε·
Αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα. — — — —
Τοιαῦτα δ' ἂν γυναιξὶ συνναίων ἔχοις.
Κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
Ἀνὴρ γυνή τε, χὤ τι τῶν μεταίχμιον,
Ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,

---

faciendum esse jam monuerat Wunderl. p. 29. Idem habet Blomf. — ὄρη pro ὀργίων Reg. K.

163. ἐστὲ vulg., quod invito Schützio in textu ejus remansit. ἔστε correxit Steph., idque dant Ald. Rob., quos recte sequuntur Seidl. Schwenk. Blomf.

164. θρέματ' Guelph.

166. θράσος Ald. Rob. Turn. Barocc. — πυργυρουμένῳ M. 1. Reg. L.

167. πολισσούχων Ald. Rob.

168. αὔειν codd. ap. Steph. Rob. — λακίζειν Mosq. 2. Barocc. — μιμήματα Ven. 1. Barocc.

169. ἐνευεστοῖ Ald. ἐν εὐετοῖ Colb. 1.

170. φύλῳ Vienn. B. D. cum glossa γένει.

172. ἥκῳ pro οἴκῳ Ald. — πόλεως Reg. K.

173. τὰς Guelph. — βοὰς Rob. et Vienn. B. D. cum glossa φυγάς.

174. θῶσαι Guelph. — διερθίσατ' Guelph. διεῤῥήσατ' Rob. — ἀψύχου M. 1.

175. ὀφέλλεται Med. Colb. 1. Barocc. et codd. ap. Steph.

176. ὑπ' αὐτῶν Vict. — ἔνδον Guelph.

177. Hic versus deest in Med. — τοιαῦτ' ἂν Reg. L. Mosq. 1. M. 2. Ald. Rob. τοιαῦτ' ἐν Ven. 1. τοιαῦτα γ' ἂν M. 1. τοιαῦτά τ' ἂν Guelph. Num forte legendum est: τοιαῦτ' ἂν ἐν? Blomf. dedit τοιαῖτα τἂν. — συναίων M. 1. Ald. — ἔχεις Mosq. 1.

178. μεταίχμιον pro ἀκούσεται Rob.

180. ὀλέθρια e codd. laudat Steph., idque verum putat, apte

Λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον.
Μέλει γὰρ ἀνδρὶ, μὴ γυνὴ βουλευέτω,
Τἄξωθεν· ἔνδον δ' οὖσα, μὴ βλάβην τίθει.
Ἤκουσας, ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;

ΧΟΡΟΣ.

Ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού- στρ. ά.
σασα τὸν ἁρματόκτυπον ὄτοβον, ὄτοβον,
Ὅτι τε σύριγγες ἔκλαγξαν ἑλίτροχοι,
Ἱππικῶν τ' ἄϋπνων πηδαλίων δια-
στόμια πυριγενετᾶν χαλινῶν.

---

refutatus ab Abreschio; neque verius, quod conjecit Stanl., βαλήσεται.

181. φύγοι Guelph.

184. Primum ἢ om. Reg. H. Colb. 2. M. 1. 2.

185. εἰσακούσασα Viteb. Colb. 2.

186. Hic et qui sequitur versus, ut in omnibus usque ad Schütz. editionibus leguntur, antistrophicis non respondent, leguntur enim ap. Brunck. Glasg. Schütz. ita:

σασα τὸν ἁρματόκτυπον ὄτο-
βον, ὅτε
σύριγγες ἔκλαγξαν ἑλίτροχοι.

Dedi autem eos, ut a Seidl. p. 58. et Herm. El. metr. p. 246., receptis librorum lectionibus, rectissime dispositi sunt. Secutus est illos etiam Schwenk. Blomf. ex conj. dedit ἁρματόκτυπον ὄτοβον, ὅτε γ' Αἱ σύρ. sed in appendice Seidleri rationem praefert. — ὄττοβον ὄττοβον Colb. 1. M. 1. 2. Guelph. Barocc. Ald. Turn. Vict. ὄττοβον Rob.

187. ὅτε τε Reg. L. ὅτι omisso τε Ald. ὅτι γε Colb. 1. ὅτι τε cum rell. codd. Rob. Turn. Vict. τε, quod a Brunck. Glasg. Schütz. injuria omittitur, ea ratione est collocatum, de qua ad Prom. 42. disputavi, ὅτι autem, quod praeter illos etiam Seidl. Herm. Schwenk. in ὅτε mutarunt, retineri posse putavi absque sensus detrimento. — σύριγγας Ald. — ἔκλαξαν Colb. 2. — ὀλοίτροχοι Ven. 2.

188. ἀγρύπνων corrigit Seidl. p. 129. et Blomf. propter antistrophicum, qui duos creticos habet; quod quamquam propter mutationis facilitatem verum puto, tamen sine codd. in textum recipere non sum ausus. Recepit Schwenk. — ἄπνον legendum putat Lachm. de syst. chor. p. 88.

189. διαστόμια pro vulg. διὰ στόμα correxit Schütz., quae mutatio tam facilis est, et tam necessaria, ut eam cum Seidlero recipere non dubitaverim. Nam ex vulg. lectione et constructio laborat, quum genitivus πηδαλίων non habeat, unde pendeat, et metrum, quum antistrophicus ex antispasto et penthemimeri iambica constet. Vulgatam ut Aeschyli grandiloquentiae aptissimam tuetur Schwenk. allatis locis Sept. Th. 51. 487. Suppl. 796. quibus nescio quid probare velit. διὰ στόμια legit Lachm. l. l. — πυριγενετῶν Colb. 1. Rob. et suprascr. in M. 1. πυριγενέταν Ald. Turn. — χαλινᾶν Med.

ΕΤΕΟΚΛΗΣ.

Τί οὖν; ὁ ναύτης ἆρα μὴ 'ς πρῷραν φυγὼν
Πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας,
Νεὼς καμούσης ποντίῳ πρὸς κύματι;

ΧΟΡΟΣ.

Ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ- ἀντ. α.
χαῖα βρέτη, θεοῖσι πίσυνος, νιφάδος
Ὅτ' ὀλοᾶς νιφομένης βρόμος ἐν πύλαις,
Δὴ τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτάς,
Πόλεος ἵν' ὑπερέχοιεν ἀλκάν.

ΕΤΕΟΚΛΗΣ.

Πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ.
Οὔκουν τάδ' ἔσται πρὸς θεῶν. ἀλλ' οὖν θεοὺς

---

190. *τί δ' οὖν* Blomf. ex praecepto Porsoni ad Phoen. 892., qui hiatum post *τί* a tragicis non admitti putat. Sed exempla, quae contrarium probant, ipse collegit Blomf., correcturus scilicet ea. — *ἆρα μήσ* Med. *ἆρα μὴ εἰς* Colb. 1. Guelph. Vienn. A. C. *ἆρα μὴ* sine *εἰς* Regg. G. K. L. *ἆρα μὲ εἰς* Reg. H. *ἆρα μ' ἐς* Vienn. B. D. Ald. Rob. *ἆρά γ' εἰς* Barocc. M. 1. 2. 2. *ἆρά γ' ἐς* rell. Brunck. Glasg. Schütz. Schwenk. Vulgatam primus reliquit Blomf. *ἆρα μὴ εἰς* scribens, quem secutus *ἆρα μὴ 's* dedi. Nam ut *γε* illud prorsus otiosum, ita *ἆρα μὴ* sensui h. l. aptissimum est, v. Schaef. ad Soph. El. 446. Herm. ad Soph. Antig. 628. ed. Erf. min. Heind. ad Plat. Phaedon. 23.

192. *ἐν κύματι* Reg. L. Viteb.

194. *πίσσυνος* Colb. 1. — *θεοῖσι πίσυνος* pro vulg. *πίσυνος θεοῖς* metri causa scribendum esse recte viderunt Seidl. et Herm. ll. cc., quos sequitur Schwenk. — Blomf. haec sic dedit, verbis transpositis:

χαῖα βρέτη, θεοῖς πίσυνος, ὅτ' ὀλοᾶς
νιφάδος ἐν πύλαις νιφομένας βρόμος.

195. *ὀλοὰς* Ald. Rob. — *νιφομένας* Regg. A. B. L. Guelph. M. 1. et suprascr. in Med. et M. 2., quod receperunt Brunck. Schütz. Blomf. Schwenk.

196. *δὴ* deest M. 1. — *ὄρθην* Reg. G. — *φόβῳ* deest Reg. K.

197. *πόλεως* omnes, quod in *πόλεος* mutavi propter antistrophicum. — *ὑπερέχοι* Colb. 1.

198. *στέργειν* Colb. 1. Guelph. Mosq. 2. Vienn. A. C. — *πολεμίων* vulg. sed *πολέμιον* Regg. A. B. C. E. Ven. 1. 2. M. 1. Guelph. Barocc. Mosq. 1., quod, ut magis poeticum, recte receperunt inde a Brunckio omnes.

199. *οὐκ οὖν* pro vulg. *οὐκοῦν* et interrogationis signum post *θεῶν* ponendum proponit Schütz. in notis; idem ex Mureti var. lect. V, 19. recepit Blomf. Tribuuntur enim vulg. haec verba *οὐκοῦν τάδ' ἔσται πρὸς θεῶν* Choro, neque intellexerunt viri docti, tres versus sine interruptione Eteocli dandos esse,

Τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

ΧΟΡΟΣ.

Μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν στρ. β'.
Ἅδε πανήγυρις, μήδ' ἐπίδοιμι τάνδ'
Ἀστυδρομουμένην πόλιν, καὶ στράτευμ'
Ἁπτόμενον πυρὶ δαΐῳ.

ΕΤΕΟΚΛΗΣ.

Μή μοι θεοὺς καλοῦσα, βουλεύου κακῶς·
Πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
Μήτηρ, γυνή, σωτῆρος· ὧδ' ἔχει λόγος.

ΧΟΡΟΣ.

Ἔστι θεοῖς δ' ἔτ' ἰσχὺς καθυπερτέρα· ἀντ. β'.
Πολλάκι δ' ἐν κακοῖσιν-τὸν ἀμήχανον

---

ut sit hic locus conformis praecedentibus et sequentibus; ubique enim Eteocles inter Chori carmina tres senarios profert. Idem vidit Lachm. de chor. syst. p. 124. *οὔκουν* autem scribendum est, ut sensus sit hic: *turris ut hostium impetum sustineat, precandum est; non penes Deos hoc erit, sed Dei captae urbis excedere dicuntur.* — *ἀλλ' ὄκνα θεοὺς* Rob. — *θεοὺς* ad sequentem versum trahitur in M. 1., unde, quum *ἀλλ' οὖν* revera aliquid offensionis habeat, audacior aliquis conjicere possit *ἀλλ' αὐτίκα Θεοὺς τοὺς ἁλούσης* etc. *τῆς* enim om. M. 2.

200. Offenderunt in articulo *τοὺς* viri docti, quare Schütz. *αὐτοὺς ἁλούσης* dedit, Herm. obss. critt. p. 45. s. *τὰ τῆς ἁλούσης* conjecit. Sed et articuli usum locumque aptis exemplis munivit, et *ἐκλείπειν* absolute positum esse demonstravit Wunderl. p. 159. sqq.

201. *ἐμὴν* Barocc.

202. *πανάγυρις* Reg. L. quod recepit Blomf. — *εἰσίδοιμι* dedit Brunck. metri causa, quem male sequitur Schütz., versus est dochmiacus dimeter, vid. ad antistrophicum.

203. *ἀστυδρουμένην* Ald. *ἀστυδρομουμένην* Rob. Turn. *ἀστυδρομουμέναν* ex Vict. in reliquas editiones omnes transiit.

205. *μή τι* M. 1. — *συμβουλεύου* Ald. — *δειλῶς* Guelph. Mosq. 2. Vienn. A.

207. *γυνὴ τῆς σωτῆρος* Guelph. *γυνὴ σωτῆρος* vulg. *γυνὴ σωτήριος* conj. Stanl., sed comma post *γυνή* habent Reg. B. Vienn. A. B. C. D., unde recte intellexit Brunck., *γυνὴ* pro vocativo positum et *εὐπραξίας σωτῆρος* jungendum esse, de qua generis enallage praeter exempla a Brunckio collecta vid. Lobeck. ad Aj. p. 270. sqq. Seidl. ad Eur. El. 988. — *γύναι* Blomf. male. — *ἔχοι* Colb. 2.

208. Post *ἔστι*, Scholiastae explicationem secutus, interpungit Brunck., quem sequuntur Schütz. Blomf., sed sententia Choro multo aptior est, omissa interpunctione, ut vulg. — *ἐστὶν θεοῦ* Med. Reg. L. — *δ' ἔτι* codd. ap. Steph. Guelph. Turn. *δέ τ'* Vict. Glasg.

209. *πολλάκις* M. 1. Guelph.

Κὰκ χαλεπᾶς δύας ὑπερθ' ὀμμάτων
Κρημναμενᾶν νεφελᾶν ὀρθοῖ.

ΕΤΕΟΚΛΗΣ.

Ἀνδρῶν τάδ' ἐστὶ, σφάγια καὶ χρηστήρια
Θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένων·
Σὸν δ' αὖ τὸ σιγᾶν, καὶ μένειν εἴσω δόμων.

ΧΟΡΟΣ.

Διὰ θεῶν πόλιν νεμόμεθ' ἀδάματον, στρ. γ'.
Δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει.
Τί τάδε νέμεσις στυγεῖ;

ΕΤΕΟΚΛΗΣ.

Οὔτι φθονῶ· σοι δαιμόνων τιμᾶν γένος·

— *κακοῖσι* vulg. *κακοῖσιν*, quod propter antistrophicum praestat, Mosq. 2. Glasg. Schwenk. — *τὰν* vulg. contra metrum et sensum; *τὸν* conjecit Canter., idque ex Marcellin. de vita Thucyd. p. 2. recipiendum esse, recte viderunt Wunderl. p. 23. et Seidl. p. 93. et receperunt Glasg. Blomf. Schwenk. — *ἀμάχανον* Blomf. male.

210. *ἐκ χαλεπᾶς* vulg. invito metro. *κὰκ χαλεπᾶς* Med. M. 1. 2. Colb. 2. Regg. C. E. G. Ven. 1. 2. Barocc. Seld. Viteb. Rob., quod propter librorum auctoritatem cum Seidlero et Schwenkio verum puto. *καχαλεπᾶς* Colb. 1. *κὰν χαλεπᾶς* Reg. L. *καὶ χαλεπᾶς* Marcellin, quod Wunderl. et Glasg. receperunt. — *ὑπέρ τ'* Marcellin., quod non displicet.

211. *κρημναμέναν νεφέλαν* vulg. *κρημναμένην νεφέλαν* Ald. Rob. *κρημναμένων νεφελῶν* Marcellin., unde recte *κρημναμενᾶν νεφελᾶν* Seidl. Blomf. Vulgatam retinet Schwenk., cujus sententiam non intelligo.

212. *τάδ' ἔχει* Rob. *τόδ' ἐστὶ* suspicatur Blomf., sine causa.

213. *πειρωμένοις* Med. *πειρομένον* M. 1.

214. *τῇ σιγῶν* Guelph. — *ἔσω* Regg. A. B. Mosq. 1., quod, ut magis atticum, receperunt Brunck. et Schütz.

215. *νεμόμεσθ'* vulg. sed *νεμόμεθ'* Barocc. Ald. Rob. Turn. Brunck. et rell. metro exigente. — *ἀδάμαστον* vulg. *ἀδάματον* jam Pauw. correxit, ut iambicum scilicet efficeret. Brunck. Glasg. Schütz. vulgatam retinent, sed dochmiacum dimetrum esse primus intellexit Seidl. p. 93., hinc *ἀδάματον* habent Blomf. Schwenk.

216. *ἀποστέγη* Ald. *ἀποστέργει* Mosq. 2.

217. *τί τάδε* libri omnes. *τίς τάδε* metri causa correxit Heath., idque non solum editores omnes receperunt, sed probarunt etiam Seidl. p. 93. 160. et Herm. El. metr. p. 261. Sed vulg. et sensui aptior est (*quid haec invidia obtrectat?*) neque versui obstat, quem ex antispasto et iambo compositum puto, quemadmodum praecedentia quoque chori carmina in versum antispasticum exeunt. — *στυγείσῃ* Reg. G.

218. *οὔτοι* Colb. 2. Med. Reg.

Ἀλλ' ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
Ἔκηλος ἴσθι, μηδ' ἄγαν ὑπερφοβοῦ.

ΧΟΡΟΣ.

Ποταίνιον κλύουσα πάταγον ἄμα ἀντ. γ'.
Ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν,
Τίμιον ἕδος, ἱκόμαν.

ΕΤΕΟΚΛΗΣ.

Μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους
Πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε.
Τούτῳ γὰρ Ἄρης βόσκεται φόβῳ βροτῶν.

L. et recepit Blomf. sine causa. — *τιμᾶν δαιμόνων* M. 1.

220. *εὔκηλος* Ar. Ox. Reg. G. Vienn. B. D. M. 1. 2. Ald. Rob. Turn.

221. *κρύουσα* Rob. — *πάτταγον* Ald. Rob. et superscr. in M. 2. — *ἄμμιγα* Med. Reg. L. — Versus strophico non respondet, quare Heath. conj. *ποτάνιον κλύουσά γε πάταγον ἄμα*, Brunck. *πρόσφατον κλύουσ' ὄτοβον ἄμα φόβῳ Ταρβοσύνῳ ποδὶ* vel *πρόσφατον κλύουσ' ὄτοβον ἀρτίως*. Glasg. et Schütz. vulg. retinent. Blomf. verbis transpositis legit: *κλύουσα πάταγον ποταίνιον, ἄμα*, in notis autem proponit: *ποταίνιον ἀκούουσα πάταγον ἄμα*, qua emendatione, quam Rob. lectio firmare videtur, difficultas sane omnis tollitur. Hermannus teste Seidlero p. 94. *ἄμμιγα* recipiens versum trimetrum iambicum facit, et antitheticum ita legit: *θεαὶ θεῶν πόλιν νεμοίμεθ' ἀδάματον*, quod tamen an non verum sit cum Seidlero dubito, quia praecedentia carmina omnia a dochmiaco incipiunt, et strophicus quoque aperte dochmiacus est. Seidl. ita corrigit: *ποταίνιον κλύουσα πάταγον μέγαν* vel *ποταίνιον κλύουσ' ἄμμιγα πάταγον ἄμα*. Lachm. de chor. syst. p. 88. Lobeckii conjecturam probat, qui *ἄμα* in *ἄμαχον* mutat. Ego quidem, quia *ἄμα* ad sensum aptissimum est, de retinenda vulgata cogitavi, et si ultima dochmii brevis defendi potest, cum Ald. et Rob. *ποταίνιον κλύουσα πάτταγον ἄμα* legi velim, *ποταίνιον* enim cum Seidlero trisyllabum habeo, duplicatum autem *τ* in *πάτταγος* non magis quam in *ὄττοβος* offendere potest, quum utrumque strepitum designet.

222. *τήνδ'* Ald. Rob. *τῶνδ'* Mosq. 2. — *ἀκρόπτολιν* pro vulg. *ἀκρόπολιν* recte Glasg. Seidl. Blomf. Schwenk. *σκοπίαν* Mosq. 2. *σκοπᾶν* Guelph.

223. *ἱκόμην* Mosq. 2.

224. *μή νυν* Blomf., qui de quantitate encliticae non cogitasse videtur. — *τετραμμένους* Ven. 1. Guelph. Ox. Viteb. Vienn. B. D.

225. *πύθοισθε* Ven. 1. Barocc. — *ἁρπαλίζεται* Colb. 1. *ἁρπαλλίζετε* M. 2. *ἁρπαλίζητε* Ald.

226. *φόνῳ* Med. Ox. Colb. 1. Ven. 2. M. 1. Regg. A. B. C. F. G. Rob. Turn. et receperunt Brunck. Glasg. Schütz. Schwenk., sed vulg. *φόβῳ* prorsus est necessarium, refertur enim ad formidinem Chori, de qua in praecedentibus rex locutus erat.

ΧΟΡΟΣ.

Καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.

ΕΤΕΟΚΛΗΣ.

Μὴ νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.

ΧΟΡΟΣ.

Στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.

ΕΤΕΟΚΛΗΣ.

Οὐκοῦν ἐμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι.

ΧΟΡΟΣ.

Δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται.

ΕΤΕΟΚΛΗΣ.

Οὐ σῖγα; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν.

ΧΟΡΟΣ.

Ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.

ΕΤΕΟΚΛΗΣ.

Οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε;

ΧΟΡΟΣ.

Θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.

ΕΤΕΟΚΛΗΣ.

Αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ σὲ καὶ πόλιν.

---

228. *ἄταν* Rob.

229. *δῆθεν* vulg. sed *γῆθεν* Regg. G. N. Seld. Barocc. M. 1. Colb. 1. 2. Ven. 1. Guelph. Ald. Rob. Glasg. Schütz. Blomf. Schwenk. — *κυκλούμενον* Rob. Cant., et suprascr. *ων* Mosq. 1.

230. *οὔκουν* et interrogationis signum in fine versus dederunt Brunck. Schütz. Schwenk., probante Buttlero, *οὐκ οὖν* Blomf., sed severius fere dictum videtur sine interrogatione, ut vulg.

231. *δ'* inertem h. l. particulam vocans sustulit Brunck., quem sequitur Schütz., male. — *ὀφέλεται* Ald.

232. *οὔ, σίγα* Ald. Rob. — *μὴ δὲν* Ald. — *πόλιν* Ald. Rob. — cf. Lobeck. et Herm. ad Soph. Aj. 75.

233. *ξυγγένεια* Rob.

234. *οὐ σιγῶσ'* Reg. G. — *ἀνασχήσει* Ven. 2. Rob. Glasg. et rell.

235. *δουλίας* Guelph. — vid. Wunderl. p. 39. sqq.

236. *καί με καὶ πᾶσαν πόλιν* vulg. Brunck. Schütz. Schwenk. *κἀμὲ καὶ π. π.* Med. M. 1. Mosq. 1. Viteb. *ἐμὲ καὶ π. π.* Ven. 1. Mosq. 2. Ald. Rob. *καὶ ἐμὲ καὶ π. π.* Guelph. *καὶ ἐμὲ καὶ σὲ καὶ πᾶσαν πόλιν* M. 2. *κἀμὲ καὶ σὲ καὶ πόλιν* Regg. K. L. Seld. Ven. 2. Glasg. Blomf., quod et ego recepi, quia illud *καὶ σὲ* certe ad sensum maxime necessarium videtur; sed *πᾶσαν* aegre desidero, quare placet emendatio a Wunderl. p. 31. prolata, ex qua simul corruptionis origo

ΧΟΡΟΣ.

Ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος.

ΕΤΕΟΚΛΗΣ.

Ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.

ΧΟΡΟΣ.

Μοχθηρὸν, ὥςπερ ἄνδρες, ὧν ἁλῷ πόλις.

ΕΤΕΟΚΛΗΣ.

Παλινστομεῖς αὖ θιγγάνουσ᾽ ἀγαλμάτων;

ΧΟΡΟΣ.

Ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.

ΕΤΕΟΚΛΗΣ.

Αἰτουμένῳ μοὶ κοῦφον εἰ δοίης τέλος.

ΧΟΡΟΣ.

Λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ᾽ εἴσομαι.

ΕΤΕΟΚΛΗΣ.

Σίγησον ὦ τάλαινα, μὴ φίλους φόβει.

ΧΟΡΟΣ.

Σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.

ΕΤΕΟΚΛΗΣ.

Τοῦτ᾽ ἀντ᾽ ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.
Καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ᾽ ἀγαλμάτων,
Εὔχου τὰ κρείσσω, συμμάχους εἶναι θεούς·

---

elucet et vulgatae pars servatur: *αὐτὴ σὺ δουλοῖς καὶ σὲ καὶ πᾶσαν πόλιν.* Minus bene Buttl. suspicatur: *αὐτὴν σὺ δουλοῖς κἀμὲ καὶ πᾶσαν πόλιν.*

237. *Ζεὺς* Ald. Turn.

239. *ἄνδρας* vulg. Brunck. Glasg. Schütz. Schwenk., sed multo melius *ἄνδρες*, quod habent Colb. 1. 2. M. 2. Regg. A. B. C. E. N. Barocc. Ald. Turn. et recepit Blomf.

240. *πάλιν στομεῖς* Ald. — Signum interrogationis vulg. abest, quod recte habent M. 1. Brunck. Schütz.

241. *ἀψυχία* Guelph. Ald. — *φόβον* pro *γλῶσσαν* M. 1.

242. *κοῦφον* commatibus inclusum Vict. — *εἰδοίης* Ald. *εἰδοίη* Reg. L. — *λόγον* pro *τέλος* var. lect. ap. Schol. A.

243. *λέγεις* Ald. — *οἴσομαι* M. 1. et sic conjecit Pauw. sed cf. Soph. Oed. R. 1504.

245. *σὺν* Ald. Rob. Turn. Vict. *ξὺν* Brunck. et rell. omnes.

248. Comma post *κρείσσω*, quod vulg. abest, recte posuerunt Brunck. Schütz. Blomf. — *κρείττω* Viteb. — *ξυμμάχους* Viteb. Brunck. et rell. *συμμάχους* Ald. Rob. Turn. Vict.

Κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
Ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον,
Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
Θάρσος φίλοις, λύουσα πολέμιον φόβον.
Ἐγὼ δὲ χώρας τοῖς πολισσούχοις θεοῖς,
Πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,
Δίρκης τε πηγαῖς, οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω,
Εὖ ξυντυχόντων, καὶ πόλεως σεσωσμένης,
Μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
Ταυροκτονοῦντας θεοῖσιν, ὧδ' ἐπεύχομαι
Θήσειν τρόπαια, πολεμίων δ' ἐσθήματα,
Λάφυρα δαΐων δουρύπληχθ' ἁγνοῖς δόμοις.

---

250. *παιώνισον* vulg. *παιάνισον* Regg. A. B. Barocc. M. 1. Guelph. Ven. 2. Ald. Rob. Turn. Brunck. et rell.

251. *Ἑλληνικῆς* Ar.

252. *πολεμίων* ex Schol. B. recepit Blomf., sed vulg. multo elegantior est.

253. *πολισούχοις* Ald. Rob.

768. ἀφῆκεν Reg. G. Guelph. Mosq. 2. Turn. — ἐπικότους τροφὰς libri omnes, nisi quod Ald. ἐπικότας et Reg. E. ἐπιτρόπους habet, et egregius est vulgatae lectionis sensus: Oedipus, qui educationem victumque debebat filiis suis, dedit quidem, sed ἀραίας, ἐπικότους τροφάς, quae deinde explicantur apposito πικρογλώσσους ἀράς. Recesserunt tamen a vulg. editores omnes, nam ἐπίκοτος τροφᾶς Heathio auctore dederunt Brunck. Glasg. Blomf., ἐπικότους τροφᾶς Schütz. Schwenk. et Wunderl. p. 119., quae quum per se sensu commodo carent, tum cogunt ἀραίας ἀράς conjungere, quod nescio quomodo explicandum sit.

769. πικρογλώσσου ἀρᾶς Ald. ἐπικρογλώσσου ἀρᾶς Barocc.

770. ἤ σφε Ven. 2. — σιδηρονόμῳ Mosq. 1. Turn.

771. διαχειρίᾳ libri omnes praeter M. 1., qui διαχειρίαν habet, utrumque sine sensu et metro. Elegantissima emendatione in Glasg. repositum est διὰ χερὶ ποτὲ λαχεῖν, quam recepit etiam Blomf. Violentior est Schützii mutatio χερί ποτε διαλαχεῖν.

Κτήματα· νῦν δὲ τρέω,
Μὴ τελέση καμψίπους Ἐριννύς.

ΑΓΓΕΛΟΣ.

Θαρσεῖτε παῖδες μητέρων τεθραμμέναι.
Πόλις πέφευγεν ἥδε δαύλειαν ζυγόν·
Πέπτωκεν ἀνδρῶν ὀμβρίμων κομπάσματα·
Πόλις δ' ἐν εὐδίᾳ τε καὶ κλυδωνίου
Πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.
Στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
Ἐφραξάμεσθα μονομάχοισι προστάταις·
Καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι·
Τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
Ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει
Κραίνων παλαιὰς Λαΐου δυςβουλίας.

ΧΟΡΟΣ.

Τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν;

ΑΓΓΕΛΟΣ.

[Πόλις σέσωσται, βασιλέες δ' ὁμόσποροι]

---

773. Non respondet versus strophico; sed recentiores editores, qui strophicum mutarunt, hunc intactum reliquerunt. Varia tentarunt Pauw. Heath. Arnald. Buttler., γε, τὰ, γ' ἅ, τάδε post τελέση inserentes. Mihi legendum videtur μὴ τελέσειε, optativus enim huic loco aptissimus est.

775. δούλιον Viteb. et sic Blomf. ut semper.

776. πέπτωκε δ' Med. — ὀβρίμων Regg. A. B. Colb. 1. M. 1. 2. Barocc. Rob. quod receperunt Brunck. Glasg. Blomf.

777. πόλις τ' Colb. 1. — εὐδεία M. 1. — ἐν εὐδίᾳ' στι vel ἐν εὐδίᾳ τι suspicatur Blomf.

779. στένει Rob. et Stanl. vitio typ. στέργει Colb. 1. M. 1. Mosq. 2. Vienn. B. D. — φερεγγύους Rob.

780. ἐφραξάμεσθα Mosq. 1. 2. Viteb. Vienn. A. B. C. D. Ald. Rob.

781. καλῶς δ' Colb. 1. 2. M. 1. Rob. et suprascr. in Med. — πλεῖστα ἐξ Viteb. Mosq. 1.

782. ἑμδόμας et ἑμδομαγέτας Barocc. — ἑβδομαγέτης Mosq. 1. quod recepit Blomf., qui suspicatur ἑβδομαγένης.

783. Οἰδίπους Mosq. 1. — Post γένει comma in Ald. Rob.

785. πρᾶγμα vulg. πρᾶγος Regg. A. B. Seld. M. 1. Colb. 2. Vienn. A. C. Rob., quod recte praetulerunt Brunck. et rell. — νεόκητον Mosq. 2. Guelph. νεότοκον Reg. H. Colb. 1. suprascr. in M. 2. — πόλει καὶ πλέον Rob. πόλει πλέον Med. M. 1. Colb. 1. Mosq. 1. Viteb.

786. βασιλέως Med. Reg. H. βασιλεῖς Reg. G. Colb. 1. 2. M. 1. 2. Guelph. Mosq. 1. 2. Rob. βασιλεῖ Ald. Hunc versum recte

Ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων - - - -

ΧΟΡΟΣ.

Τίνες; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.

ΑΓΓΕΛΟΣ.

Φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου γένος - - - -

ΧΟΡΟΣ.

Οἲ ἐγὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.

ΑΓΓΕΛΟΣ.

Οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι.

ΧΟΡΟΣ.

Ἐκεῖθι κ' ἦλθον; βαρέα δ' οὖν ὅμως φράσον.

ΑΓΓΕΛΟΣ.

Οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν.

ΧΟΡΟΣ.

Οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.

ΑΓΓΕΛΟΣ.

Αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
Τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·

---

uncinis incluserunt Glasg. Schütz. et ejecit Blomf., turbat enim et sensum et versuum singulorum alternationem, et infra iisdem verbis recurrit. Ineptus est Buttler., qui hunc versum retinendum, sequentem autem ejiciendum putat.

787. χειρῶν M. 1. Ald. Rob. — αὐτομάτων Med. sed suprascr. κτόνων.

788. τί δ' ἔπος Vienn. A. — λόγον Barocc. Ald.

789. Interrupti sermonis notam omittunt Glasg. Blomf. male.

790. οἵ ἐγὼ Ald. Rob. Turn. Vict. quod recte retinuit Blomf. οἳ 'γὼ editores reliqui.

791. γε μὴν M. 1. νῦν Guelph. Mosq. 2. Viteb. Vienn. A. Rob. — κατεσποδημένοις Guelph.

792. κεῖλθον Rob. κεῖσθον Med. sed suprascr. ηλ. — βαρέα μὲν, ὅμως M. 1. 2. Rob. βαρέα μὲν, ἀλλ' ὅμως Regg. C. G. K. L. Ven. 2. βαρέα γ' οὖν, ὅμως Blomf. quod maxime displicet. Vulg. δ' οὖν nihil habet offensionis, modo comma, quod vulgo subjicitur, sustuleris. — φράσω Reg. E.

793. οὗτος Guelph. — ἠνηροντ' Turn.

794. οὗτος Guelph. ὄντως Vienn. A. C. quod recepit Schütz., pessime.

795. ἐναλοῖ Guelph. ἐνάλοι Mosq. 2.

796. Hic versus et seqq. usque ad φορούμενοι in cod. Viteb. Choro tribuuntur, quem sequitur Blomf. Neque mihi hoc displicet; unum enim versum Nuntio tribui necessarium fere videtur propter ordinem praecedentium, sequentia autem Chori personae aptiora sunt

Πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,
Δισσὼ στρατηγὼ, διέλαχον σφυρηλάτῳ
Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.
Ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονὸς,
Πατρὸς κατ' εὐχὰς δυςπότμους φορούμενοι.
Πόλις σέσωσται· βασιλέοιν δ' ὁμοσπόροιν
Πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.

ΧΟΡΟΣ.

Ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι
Δαίμονες, οἳ δὴ Κάδμου πύργους
Τούςδε ῥύεσθε·
Πότερον χαίρω, κἀπολολύξω
Πόλεως ἀσινεῖ σωτῆρι,

---

quam Nuntii. — χαίρειν κακὰ καὶ Colb. 1. Mosq. 1. Viteb. — δακρύσασθαι Vienn. A. C. Viteb. Turn. Vict. δακρύσεσθαι Med. Colb. 1. Mosq. 1. Vienn. B. D. δακρύεσθαι Regg. A. B. H. K. L. M. 2. Ven. 2. Seld. Ald. Rob. et sic recte Brunck. et rell.

799. χρημάτων M. 2. — παμπησίας Mosq. 1.

800. τάφῳ Regg. G. K. L. Ven. 2. Ald. Rob. — χθόνα suspicatur Brunck., quia genitivus χθονὸς nihil habeat, a quo regatur, idque recepit Blomf. sed ταφῇ χθονός jungendum et ad ἣν supplendum est παμπησίαν.

801. δυςποτμῶς M. 1.

802. βασιλείοιν Med. Barocc. Mosq. 1. Ald. — Hunc et sequentem versum ejici vult Buttler. propter frigidam tautologiam, quae tollitur, si praecedentes versus Choro, hi duo Nuntio tribuuntur, de quo supra dictum est.

803. πέπτωκεν Regg. K. L. Colb. 1. 2. M. 1. 2. Barocc. Mosq. 1. Viteb. Ald. πέπωκται Rob. — γᾶ Barocc. Mosq. 1. γᾶν Colb. 2. M. 1. Viteb.

804. πολισσοῦχοι vulg. adversante metro. πολισοῦχοι Guelph. Vienn. A. B. D. Ald., quod cur recipere noluerint editores, non video, omnes enim πολιοῦχοι dederunt. πολισσοῦχοι θεοὶ habet Tzetz. ad Hesiod. Op. 128.

806. τούςδε ῥύεσθαι Mosq. 1. τούςδ' ἐρύεσθε Mosq. 2. De syllaba brevi in fine versus vid. Seidl. de verss. dochm. p. 80., quare non necessarium puto, quod legi voluit Herm. de Metr. p. 293. τούςδε φυλάσσετε, quod suprascriptum est in Mosq. 2.

808. σωτηρίᾳ Regg. E. G. Colb. 1. Guelph. Viteb. Vienn. A. C. σωτηρία Mosq. 1. — Versus est paroemiacus exitu spondaico, cujus generis exempla habent Gaisf. ad Hephaest. p. 288. Herm. El. metr. p. 378. Sed hic nostrum versum corruptum putat, et mihi quoque rarius aliquod vocabulum hic olim lectum fuisse videtur, cujus glossa erat σωτηρίᾳ, quod deinde versus causa in σωτῆρι

Ἢ τοὺς μογεροὺς καὶ δυςδαίμονας
Ἀτέκνους κλαύσω πολεμάρχους;
Οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
Καὶ πολυνεικεῖς
Ὤλοντ' ἀσεβεῖ διανοίᾳ.
Ὦ μέλαινα καὶ τελεία στρ.
Γένεος Οἰδίπου τ' ἀρὰ,
Κακόν με καρδίαν τὶ περιπιτνεῖ κρύος;
Ἔτευξα τύμβῳ μέλος
Ὡς Θυὰς, αἱματοσταγεῖς
Νεκροὺς κλύουσα δυςμόρους
Θανόντας· ἦ δύςορνις ἅ-
δε ξυναυλία δορός.
Ἐξέπραξεν, οὐδ' ἀπεῖπε ἀντ.

---

corruptum est. Nam neque ad sensum satis commodum est σωτῆρι, neque syllaba brevis in fine versus eandem excusationem habet, quam v. 806.

810. πολεμάρχους vulg. πολεμάρχας Seld. Vienn. B. D. var. lect. in Reg. B., quod recipi voluit Brunck., recepit Schütz. et Schwenk. sine ulla necessitate. Blomf. recte adfert Choeph. 1065. πολέμαρχος ἀνήρ.

811. καὶ κατ' Ald. Rob. quo confirmatur emendatio Blomfieldii, qui verbis transpositis dedit καὶ πολυνεικεῖς κατ' ἐπωνυμίαν, quam transpositionem sensus fere postulat. — ἐπωνυμίην vulg. ἐπωνυμίαν Reg. A. Guelph. Ald. Rob. Brunck. et rell.

815. γένος Colb. 1. Reg. G. — Οἰδίπου γ' M. 1. 2. Οἰδίπου omisso τ' Rob.

816. κακόν μου M. 1. Colb. 2. Reg. G. Guelph. Mosq. 1. Vienn. A. Ald. Turn. Vict. κακόν μοι Colb. 1. Viteb. — κραδίᾳ Turn. Vict. καρδίᾳ Reg. G. Colb. 1. 2. Guelph. Seld. Barocc. Ald. Rob. Brunck. Glasg. Schütz., sed καρδίαν propter constructionem legendum esse, probavit Brunck. idque recipere voluisse Schützium ex ejus adnotatione apparet. Legitur autem καρδίαν in Med. M. 1. 2. Regg. H. L., quare cum Blomfieldio recepi. — περιπνεῖ Colb. 1. Guelph. περιπίπτει Regg. G. K. Seld.

817. μέλος τύμβῳ Seld.

818. ὡς omittunt Med. Barocc. Colb. 1. Guelph. Reg. E. Ald. Turn. et cum iis Blomf., recte, ni fallor. θυὰς ὡς Reg. G. — θυὰς vulg. sed θυιὰς Med. Brunck. et rell. ut supra v. 480. — αἱματοστυγεῖς Ald. Rob.

819. δυςμόρους vulg. δυςμόρως Regg. A. B. Seld. Guelph. Mosq. 2. Vienn. C. Brunck. Schütz. Schwenk. Blomf. δυςφόρους Reg. L. Colb. 1. Mosq. 1. Viteb. Ald. δυςφόρως Med. Barocc. Vienn. A. Sed vulgatum ut magis poeticum retinui.

820. θανόντα Rob.

821. ξυναυλίᾳ Ald. δουρὸς Guelph.

822. ἀπεῖπεν Med.

Πατρόθεν εὐκταία φάτις·
Βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.
Μέριμνα δ' ἀμφὶ πτόλιν,
Καὶ θέσφατ' οὐκ ἀμβλύνεται.
Ἰὼ πολύστονοι τόδ' εἰρ-
γάσασθ' ἄπιστον· ἦλθε δ' αἰ-
ακτὰ πήματ' οὐ λόγῳ.
Τάδ' αὐτόδηλα, προὖπτος ἀγγέλου λόγος· ἐπῳδός.
Διπλαῖ μέριμναι, διδυμάνορα
Κάκ' αὐτοφόνα, δίμοιρα
Τέλεια τάδε πάθη. τί φῶ;
Τί δ' ἄλλο γ' ἢ πόνοι πόνων,
Δόμων ἐφέστιοι.
Ἀλλὰ γόων ὦ φίλαι κατ' οὖρον
Ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν
Πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται

---

823. *πατρῴα* Reg. K.
824. *ἄπιστα* Rob. *ἀπείστοι* suprascr. in Vienn. D. quod recepit Schütz. male. v. Seidl. ad Eur. Iph. T. 1443.
825. *μερίμναι* M. 1. Ald. — *πόλιν* Guelph. Barocc. Vienn. B. D. Ald. Rob.
826. *καὶ* omittunt Med. Colb. 1. Seld. Vienn. A. B. C. D. et cum iis Blomf., qui in strophico *ὡς* ejecerat.
828. *εἰργάσασθε* Ald. Turn. Vict. — *ἦλθ' αἰακτὰ* Guelph.
830. *τρέπτος* Seld.
831. *δίδυμ' ἀνορία* Barocc. Guelph. Mosq. 1. 2. Vienn. A. B. C. D. Ald. *δίδυμ' ἀνορέᾳ* Turn. Vict. *διδυμανόρεα* Seld. Rob. *διδυμανόρεια* var. lect. in Turn. *δίδυμ' ἄνορα* Colb. 2. M. 1. *διδυμάνορα* Reg. A. Brunck. et rell.
832. *αὐτάφονα* Turn. Post hoc voc. punctum habet Rob.
833. *τάδε* om. Barocc. Ald. *τὰ* Vienn. B. C. D. Turn. Vict. *τε* Vienn. A. *δὲ τὰ* Colb. 2. *τὰ δὲ* Reg. K. M. 1. 2. *τάδε* Reg. A. Ven. 2. Seld. Rob. Brunck. et rell. — *παθεῖν* Ven. 2.
834. *πόνων* om. Rob.
835. *δομάτων* Rob.
836. *γόον* vulg. *γόων* M. 1. Seld. Rob. et suprascr. in Reg. B. et sic Brunck. et rell.
837. *κράτα* Vienn. D.
838. *πύτιλον* Guelph. — *αἰεὶ* Vienn. A. B. Guelph. quod recepit Blomf. *ἀεὶ* Vienn. C. D. — In verbo *ἀμείβεται*, quod Schütz. *sequitur* explicat, offendit Wunderl. p. 181., qui *Ἀχέροντα πέμπεται* conjicit. Eadem de causa forsan Blomf. suspicatur *ἀμείβει τάν*. Sed nihil mutandum est. Verbum paullo audacius sane adhibitum hunc habet sensum: intrat cymbam et cum ea per Acherontem in locum inferorum se confert.

Ταν ἄστονον, μελάγκροκον
Ναύστολον θεωρίδα,
Τὰν ἀστιβῆ Ἀπόλλωνι, ταν ἀνάλιον,
Πάνδοκον, εἰς ἀφανῆ τε χέρσον.

Ἀλλὰ γὰρ ἥκουσ' αἴδ' ἐπὶ πρᾶγος
Πικρὸν Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη.
Θρῆνον ἀδελφοῖν οὐκ ἀμφιβόλως
Οἶμαι σφ' ἐρατῶν ἐκ βαθυκόλπων
Στηθέων ἥσειν ἄλγος ἐπάξιον.
Ἡμᾶς δὲ δίκη πρότερον φήμης
Τὸν δυςκέλαδόν θ' ὕμνον Ἐριννύος
Ἰαχεῖν, Ἀΐδα τ'

---

839. *ἄστολον* var. lect. in Schol. B. idque probat Valck. ad Theocr. Adoniaz. p. 229. B. et recepit Schütz. Verba *τὰν ἄστονον* uncinis inclusit Blomf. ut spuria. — *μελάγκαρον* Ald. et var. lect. ap. Turn.

840. *ναύστολον* e glossemate natum putat Stanl. et ejecit Schütz. ut efficeret senarium, qualem obtrudere certe Aeschylo non oportet: *τὰν ἄστολον, μελάγκροκον θεωρίδα.* Non melior est Blomfieldii versus: *μελάγκροκον νεκυοστόλον θεωρίδα.* Reposuit enim *νεκυοστόλον* ex Buttleri conjectura, quia Schol. A. explicat *τὴν διάγουσαν τοὺς νεκροὺς*, quod nihil probat. *ἄστολον* pro *ναύστολον* habet Rob. *ναυστολῶν* suspicatur Schwenk. Mihi quidem hoc loco nihil prorsus mutandum videtur, nec quidquam offensionis in vulgata video, omnium librorum consensu comprobata, nisi quod fortasse *ναύστολον* abundare videri possit, sed consulto imaginem pulcherrimam multis verbis illustrasse videtur, quemadmodum mox dixit *τὰν ἀστιβῆ Ἀπόλλωνι, τὰν ἀνάλιον,* quibus iterum offensus Blomf. postremum verbum ejecit.

841. *ἀστιβῆ 'πόλλωνι* Pauw. Glasg. Blomf. sed voce tantum hanc crasin efferendam esse docet librorum consensus. — *ἀνάλιον* ut glossema ejecit Blomf., de quo jam supra monitum est.

842. *πάνδομον* Guelph.

843. *ἀλλ' ἥκουσ'* Colb. 1. 2. — *ἐπὶ πρᾶγος αἴδ'* M. 2.

844. *θ' ἠδ'* Colb. 1. Guelph. Ald. *θ' ἤδ'* Rob. *θ' ἡδ'* Turn.

845. *ἀδελφοῖς* M. 2. Post *ἀδελφοῖν* vulg. interpungitur, et sic Glasg. Blomf., sed post *Ἰσμήνη* recte interpungunt Brunck. Schütz.

846. *καὶ* pro *ἐκ* Colb. 2.

848. *ὑμᾶς* Reg. G.

849. *θ'* om. Rob. Vienn. A. — *ὕμνον τ'* Colb. 2. — *Ἐρινύος* Blomf.

850. *ἠχεῖν* emendat Elmsl. ad Eur. Heracl. 752. qui *ἰαχεῖν* secundam producere frustra demonstrare conatur, ipse suis exemplis refutatus. *Ἄϊδα* Ald. Rob. Turn. Brunck. Schütz. recte. *Ἀΐδα* Vict. Glasg. *Ἀΐδη* Blomf., qui in notis *Ἀΐδου* mavult.

Ἐχθρὸν παιδὸς ἐπιμέλπειν.

Ἰὼ δυςαδελφόταται πασῶν, ὁπόσαι
Στρόφον ἐσθῆσιν περιβάλλονται,
Κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς
Μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.

ΗΜΙΧΟΡΙΟΝ ά.

Ἰὼ ἰὼ δύςφρονες, στρ. ά.
Φίλων ἄπιστοι, καὶ κακῶν ἀτρύμονες,
Πατρῴους δόμους ἑλόν-
τες μέλεοι σὺν ἀλκᾷ.

ΗΜΙΧΟΡΙΟΝ β'.

Μέλεοι δῆθ', οἳ μελέους θανάτους
Εὕροντο δόμων ἐπὶ λύμῃ.

ΗΜΙΧΟΡΙΟΝ ά.

Ἰὼ ἰὼ δωμάτων ἀντιστρ. ά.
Ἐρειψίτοιχοι, καὶ πικρὰς μοναρχίας
Ἰδόντες, ἤδη διήλ-

---

851. *ἐπιμάρπτειν* var. lect. ap. Turn.

852. *δυςαδελφωτάται* Guelph.

853. *ἐσθῆσι* vulg. *ἐσθῆτα* M. 2. Rob. *αἰσθῆσι* Colb. 2. *ἐσθῆσιν* a Pauwio repositum receperunt omnes, recte.

854. *κλάω* Glasg. Blomf. invitis libris.

855. *μὴ ἐκ* Ald. Blomf. — *μ' ὀρθῶς* M. 1. *ὀρθῆς* suspicatur Blomf.

856. Quae hinc usque ad v. 1007. sequuntur, vulgo monostrophica leguntur, antistrophica esse primus vidit Hermannus, quem sequitur Schütz. Quod illi recte quidem fecerunt, ita tamen, ut nobis quam plurimis locis ab iis discedendum sit.

857. *φίλον* Ald.

858. *δόμους πατρῴους* dederunt Schütz. et Blomf., quod sane propter metrum necessarium est, nisi forte in antistrophico est vitium, quod putat Lachmannus.

859. *ἀκμῇ* suprascr. *λκ* Colb. 1. *αἰχμᾷ* Regg. E. G. Seld. Barocc. var. lect. ap. Turn. et Steph., quod receperunt Brunck. Schütz. Schwenk. Blomf., sed non video, cur praestet vulgatae.

861. *εὕραντο* Ald. Rob. — *λύμα* M. 1. idque ex uno Reg. B. restituerunt Brunck. et Schütz.

862. *ἰὼ* semel Colb. 1. — *δομάτων* Rob. *δόμων* Barocc. Ven. 1. Guelph. Ald.

863. *ἐρειψίτειχοι* M. 1. *ἐρειψίτοιχοι* M. 2. Seld. Viteb. Ald. Rob. — *ἐπὶ* pro *καὶ* Colb. 1. — *πικρᾶς* Rob.

864. *ἤδη* om. Turn. *ἤδη* Rob. *τί δὴ* metri causa dedit Lachm. de chor. syst. p. 78.

λαχθε σὺν σιδάρῳ.
[Οὐκ ἐπὶ φιλίᾳ,
Ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε.]

ΗΜΙΧΟΡΙΟΝ β'.

Κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα
Πότνι' Ἐριννὺς ἐπέκρανεν.

ΗΜΙΧΟΡΙΟΝ α'.

Δι' εὐωνύμων τετυμμένοι. στρ. β'.

ΗΜΙΧΟΡΙΟΝ β'.

Τετυμμένοι δῆθ', ὁμο-
σπλάγχνων τε πλευρωμάτων.

---

865. *διηλλάχθαι* Seld. — *σὺν* omittunt Regg. A. K. L. M. 2. Brunck., quem Schütz. sequitur, metrum non curans. — *σιδήρῳ* M. 2. Guelph. Rob.

866. Hunc et sequentem versum omittit Ar. et e cod. Farn. exulare jussit Triclinius, eosque tum propter sensus ineptiam tum propter metrum spurios esse et ex Scholiastae explicatione natos recte judicarunt Stanl. Herm., omiserunt Schütz. Blomf., uncis inclusit Glasg. Ceterum *οὐκ ἔτ' ἐπὶ* vulg. legitur, *ἔτ'* omittit Reg. A., quem sequitur Brunck.

868. Hemichorii persona vulgo non praefigitur, quam recte addiderunt Schütz. Blomf. — *κατεύγματα*, quod vulg. post *Οἰδιπόδα* legitur, recte omittunt Regg. A. B. Colb. 1. M. 1. 2. Guelph. Seld. Barocc. Viteb. Mosq. 1. 2. Vienn. A. B. C. D. Ald. Turn. Brunck. et rell. sed sensum pervertit Schütz., qui propter illud omissum *ἀληθὴς* scripsit; neque *ἀρὰν* ad *ἀληθῆ* subaudiendum est, quod putat Brunck., sed est neutr. plur.

869. *πόντι'* Rob. — *Ἐρινὺς* Blomf. — *ἐπέκρανε* vulg. *ἐπέκρανεν* Ald. Rob. Schütz. Blomf.

870. Quae sequuntur, Hermanno auctore Schütz. et Blomf. ita distribuerunt, ut v. 870—75. stropham, 876—881. antistropham, et 882—892. epodum efficerent. Sed versibus 870—881. stropham, 882—892. antistropham contineri recte vidit Schwenk., qui tamen de restituenda responsione desperat, viderunt Lachm. de chor. syst. p. 79., Elmsl. in Museo crit. Cantabr. VII. p. 458. et ipsum Hermannum nunc sententiam mutasse intelligi potest ex ejus El. metr. p. 257. — Abest hic versus Seld.

871. *δῆτα* Med. M. 2. Seld. Guelph. *δὴ τάθ'* Rob. — *ὁμοῦ* Reg. L.

872. *τε* om. Reg. E. Guelph. — *πλευρωμάτων* vulg. quod retinent etiam Lachm. et Elmsl., qui in antistrophico legunt *πέδον φίλανδρον· μενεῖ.* Sed ibi *μενεῖ* ad versum sequentem pertinere docet Hemichoriorum ratio ab illis neglecta. Quare, nisi in antistrophico versu aliquid deest, in nostro *πλευρῶν* legere velim. — Post hunc versum lacunae signum posuerunt Lachm. et Elmsl., deesse enim versum, non solum antistrophicus docet, qui non habet cui

ΗΜΙΧΟΡΙΟΝ α΄.

* * * * *

ΗΜΙΧΟΡΙΟΝ β΄.

Αἲ αἶ δαιμόνιοι,
Αἲ αἶ δ' ἀντιφόνων
Θανάτων ἀραί.

ΗΜΙΧΟΡΙΟΝ α΄.

Διανταίαν λέγεις πλαγάν.
Δόμοισι καὶ σώμασι
Πεπλαγμένους ἐννέπω.

ΗΜΙΧΟΡΙΟΝ β΄.

Ἀναυδάτῳ μένει
Ἀραίῳ τ' ἐκ πατρὸς
Διχόφρονι πότμῳ.

---

respondeat, sed etiam Hemichoriorum ratio. Sed habeo, quomodo lacunam expleam, huc enim transponendum puto versum πεπλαγμένους ἐννέπω, quem infra metrum antistrophae non fert, quique apte respondet antistrophico μενεῖ κτέανά τ' ἐπιγόνοις. Facilior certe haec est ratio, quam Lachmanni et Elmsleji, qui non solum hic lacunam ponunt inexplebilem, sed etiam infra mutare coacti sunt, ut habeant, quod versui illi respondeat.

875. Non respondet versus antistrophico καὶ θανάτου τέλος, néc quidquam juvat lectio Ald. θανάτῳ, succurreret metro lectio Turn. θανόντων, quam recepit Blomf., nisi et ad sensum minus commoda esset, et necessarium videretur θανάτων, quia et in antistrophico idem vocabulum est, quod consulto quaesitum videtur. Hac quidem ratione melior, sed propter sensum respuenda est Lachmanni emendatio ἐκ θανάτων. Mihi in mentem venit αἲ θανάτων ἀραί, hoc enim facile excidere potuit.

876. μοι ante λέγεις inseruit Schütz. propter eum, quem putavit, antistrophicum. — Hoc hemichorium ut antistrophico responderet, ita emendavit Lachm. Διανταίαν λέγεις πλαγὰν δόμοις Σώμασιν πεπλαγμένους. Elmsl. καὶ retinuit, sed ἐννέπω et ipse ejecit. Sed versu πεπλαγμένους ἐννέπω hinc transposito, ut supra dixi, nihil mutandum est. — διαντέαν Guelph. δι' ἀνταίαν Ald. — πλαγὴν M. 2.

877. δώμασι Regg. K. L. Guelph.

878. πεπληγμένους M. 2. Ald. πεπληγμένη Reg. G. πεπληγμένην M. 1.

879. ἀναύδῳ Blomf. propter suum antistrophicum.

880. ἀραὶ Guelph. — ἀραῖον ἔκ τε πατρὸς dedit Lachm. metri causa, ut videtur, quod minime opus est; versus hic ut praecedens ex eorum genere est, quos tragicis usitatissimos, iambicos ischiorrhogicos recte vocari posse dicit Herm. El. metr. p. 234.

ΗΜΙΧΟΡΙΟΝ α'.

Διήκει δὲ καὶ πόλιν στόνος. ἀντιστρ. β'.

ΗΜΙΧΟΡΙΟΝ β'.

Στένουσι πύργοι, στένει
Πέδον φίλανδρον.

ΗΜΙΧΟΡΙΟΝ α'.

Μενεῖ κτέανά τ' ἐπιγόνοις.

ΗΜΙΧΟΡΙΟΝ β'.

Δι' ὧν αἰνομόροις,
Δι' ὧν νεῖκος ἔβα,
Καὶ θανάτου τέλος.

ΗΜΙΧΟΡΙΟΝ α'.

Ἐμοιράσαντο δ' ὀξυκάρ-
διοι κτήμαθ', ὥστ' ἴσον λαχεῖν.

ΗΜΙΧΟΡΙΟΝ β'.

Διαλλακτῆρι δ' οὐκ
Ἀμεμφία φίλοις,
Οὐδ' ἐπίχαρις Ἄρης.

ΗΜΙΧΟΡΙΟΝ α'.

Σιδαρόπλακτοι μὲν ὧδ' ἔχουσι. στρ. γ'.

---

882. Hemichoriorum distributionem in hac antistropha, quam epodum videri Schützio et Blomfieldio supra monitum est, omittunt omnes praeter Rob., quem sequi propter stropham necessarium erat. — δὲ omisso καὶ Vienn. B. D. δ' ἐς Guelph. — πόλιν τε Reg. K. Ven. 2. — ὑπ' ἀνδρῶν στόνος Reg. K.

883. στένει δὲ πέδον Turn. Vict. sed δὲ omittunt Regg. A. B. Seld. Barocc. Colb. 1. Guelph. Ald. Rob. Brunck. et rell.

885. δ' ἐπιγόοις M. 2. δ' ἐπὶ γόνοις Guelph.

888. μένος var. lect. pro τέλος in Mosq. 1.

889. ἐμοίρασαν τοδ' Ald.

890. ὡς Vienn. B. D. — ἴσον vulg. ἴσον Vienn. B. D. Rob. Turn. Brunck. et rell. ἴσαν Ald. ἶσα Colb. 1. Schol. A. Verum videtur ἴσα, quod metrum poscit; διοι autem monosyllabum est.

892. οὐ κᾳμεμφίᾳ Ald. ἀμεμφίᾳ etiam Rob.

893. ἐπιχαρὴς Reg. G. Vienn. B. D.

894. In hac quoque stropha et antistropha Schütz. et Schwenk. hemichoriorum distributionem prorsus omiserunt, Brunck. et Blomf. ex parte. — σιδηρόπληκτοι Viteb. M. 2. Guelph. σιδαρόπληκτοι var. lect. ap. Steph. σιδηρόπλακτοι Regg. G. L. M. 1. Turn. Vict. σιδηρόπλακτα Ald. — ἔχουσιν Med. — Hanc et duas sequentes personas Hemichorii non agnoscit Ar., duas

ΗΜΙΧΟΡΙΟΝ β'.

Σιδαρόπλακτοι δὲ τοὺς μένουσι,
Τάχ' ἄν τις εἴποι, τίνες;

ΗΜΙΧΟΡΙΟΝ α'.

Τάφων πατρῴων λαχαί.

ΗΜΙΧΟΡΙΟΝ β'.

Δόμων μάλ' ἀχὼ ἐπ' αὐτοὺς
Προπέμπει δαϊκτὴρ γόος, αὐ-
τόστονος, αὐτοπήμων,
Δαϊόφρων, οὐ φιλογαθής, ἐτύμως
Δακρυχέων ἐκ φρενός, ἅ,
Κλαιομένας μου, μινύθει,
Τοῖνδε δυοῖν ἀνάκτοιν.

---

sequentes non agnoscit Rob., quem sequuntur Brunck. et Blomf.

895. σιδηρόπλακσοι Ald. σιδηρόπλακτοι Turn. Vict. σιδηρόπληκτοι M. 2. Guelph. σιδαροπλάκτους dedit Schütz., quia nominativus non bene cum λάχη coeat. Sed prorsus necessarius est propter sequens τίνες, metaphora autem pulcherrima est. — Post hunc versum in Med. Reg. L. inseritur τετυμμένοι δῆθ' ὁμοῦ.

896. τάχα δ' ἂν Colb. 1. Ald. — εἴπῃ Viteb.

897. λάχη Schütz., mutationis causa non addita.

898. Deest persona ΗΜΙΧ. in Barocc. Ald. Turn. — δεινὰν pro δόμων suspicatur Brunck. sine causa. — ἀχὼ μάλ' αὐτοὺς Guelph. μάλ' αὐτοὺς ἀχὼ Vienn. A. ἀχὼ ἐς αὐτοὺς Reg. K. Colb. 2. ἀχὼ εἰς αὐτοὺς Reg. C. ἀχὰ ἐς αὐτοὺς Med. ἀχὴν ἐς αὐτοὺς Seld. Rob. Hiatu versus laborat, ut vulgo legitur, quare Schütz. suspicatur ἀχὼ δ' ἐπ' αὐτοῖς, Blomf. dedit ἀχὼ 'π' αὐτοὺς, quod versum pessumdat. Verum videtur ἀχὴν, quod proposuit etiam Lachm. p. 79. ἀχὰν ἐς οὖς emendat Ehmsl. ad Eur. Med. 147., antistrophici enim scriptura ei incerta videtur ad Med. 393.

899. πέμπει Colb. 2. — γόος τ' Rob.

901. δαΐφρων, quod vulgo legitur, metro non satisfacit. οὐ φιλόφρων dedit Schütz. δαϊόφρων, quod recepi, exhibent Blomf. Schwenk. Herm. El. metr. p. 425. Lachm. l. c. — δ' οὐ Med. Regg. C. E. L. Colb. 1. 2. Ven. 1. 2. Seld. Barocc. Guelph. τ' οὐ Rob. — φιλαγαθὴς vulg. male. φιλογαθὴς M. 2. Seld. Brunck. et rell. φιλομαθὴς Vienn. C. — ἐτύμως om. Rob.

902. δάκρυ χέων ἐκ Ald. δάκρυ χέων δ' ἐκ Rob. δακρυχέων δ' ἐκ Reg. E. Colb. 1. M. 1. 2. Vienn. A. B. C. D. Viteb. δακρυχέω δ' ἐκ Reg. C. δάκρυα χέων ἐκ Guelph.

903. κλεομένας Reg. K. κλαομένας Glasg. Schütz. Blomf.

904. τοῖν δὲ Rob. — δοιοῖν Med. δυεῖν Reg. B. Brunck. Glasg. Schütz.

ΗΜΙΧΟΡΙΟΝ α'.

Πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν. ἀντιστρ. γ'.

ΗΜΙΧΟΡΙΟΝ β'.

Ὡς ἐρξάτην πολλὰ μὲν πολίτας,
Ξένων τε πάντων στίχας.

ΗΜΙΧΟΡΙΟΝ α'.

Πολυφθόρους ἐν δαΐδι.

ΗΜΙΧΟΡΙΟΝ β'.

Δυςδαίμων σφὶν ἃ τεκοῦσα
Πρὸ πασῶν γυναικῶν, ὁπόσαι
Τεκνογόνοι κέκληνται.
Παῖδα τὸν αὑτᾶς πόσιν αὑτῇ θεμένα,
Τούςδ' ἔτεχ', οἱ δ' ὧδ' ἐτελεύ-
τασαν ὑπ' ἀλλαλοφόνοις
Χερσὶν ὁμοσπόροισιν.

ΗΜΙΧΟΡΙΟΝ α'.

Ὁμόσποροι δῆτα καὶ πανώλεθροι, στρ. δ'.

---

905. πάρεστιν δ' vulg. πάρεστι δ' M. 1. Barocc. Ald. Turn. Brunck. et rell. πάρεστιν omisso δ' Seld. πάρα δ' Regg. G. K. M. 2. Ven. 2. — ἀθλίοισι M. 1.

906. πολίταις vulg. πολιήταις Vict. πολίτας M. 2. et sic recte Brunck. et rell.

907. ξένων τ' ἐς Reg. G. Ven. 1. Barocc. Guelph. Rob. ξένων δὲ Reg. B. quod recipi voluit Brunck., recepit Schütz., propter praecedens μέν, sed τε optime se habet, μέν autem non sequente δέ saepissime poni, notissimum est.

908. δαΐσι Reg. K. Vienn. B. D. δαΐω Guelph. Vienn. A. C. δαΐ Med. Regg. H. L. var. lect. ap. Steph., quod receperunt Schütz. Schwenk. Blomf. Lachm., sed vulgatum versus causa necessarium est.

909. Hemichorii personam non agnoscunt Turn. Vict. — ἣ τεκοῦσα Med. Regg. H. L. Colb. 2. M. 2.

910. πρὸ om. Reg. G. quod probat Elmsl. ad Eur. Med. 393. προπασῶν Seld. et sic Glasg. Blomf. male.

911. παιδογόνοι Colb. 2. — κέκλυνται Ald.

912. αὐτᾶς Ald. Rob. αὐτῆς Viteb. — αὐτῇ M. 2. Guelph. Viteb. Rob. αὐτὴ Ald. αὐτὰ Turn. — θεμένη M. 2. Guelph. θεμένη Ald. Rob.

913. τοίους δ' Ven. 2. — οἵδ Turn.

914. ἐτελεύτησαν vulg. ἐτετελεύτησαν Colb. 1. ἐτέλεσαν Rob. τέλεσαν Seld. teste Buttl. ἐτέλεσεν idem teste Blomf. ἐτελεύτασαν Regg. A. B. L. Med. Brunck. et rell. — ἀλληλοφόνοις vulg. ἀλληλοφόνοισι Seld. M. 2. Rob. ἀλλαλοφόνοισι Guelph. ἀλλαλοφόνοις Regg. A. B. Med. M. 1. Brunck. et rell.

916. Praefigitur huic versui

Διατομαῖς οὐ φίλαις,
Ἔριδι μαινομένᾳ,
Νείκεος ἐν τελευτᾷ.

ΗΜΙΧΟΡΙΟΝ β'.

Πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
Ζωὰ φονορύτῳ μέμικται·
Κάρτα δ' εἴσ' ὅμαιμοι.
Πικρὸς λυτὴρ νεικέων
Ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς
Θηκτὸς σίδαρος· πικρὸς δὲ χρημάτων
Κακὸς δατητὰς Ἄρης ἀρὰν
Πατρὸς τιθεὶς ἀληθῆ.

ΗΜΙΧΟΡΙΟΝ α'.

Ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι, ἀντιστρ. δ'.

---

vulg. Ismenae nomen, cujus loco Hemichorii personam recte posuerunt Brunck. et rell. — δὴ καὶ Reg. A., quod recepit Brunck. invito metro. — πανώλεθροι Ald. πανωλέθριοι Vienn. B. D. quod recepit Schütz. propter antistrophicum, sed ibi μέλεοι est bisyllabum.

917. ἀφίλαις pro οὐ φίλαις vult Lachm. p. 80. et Schwenk., quod jam proposuerat Henr. Voss., sed nulla mutatione opus est; versus hic ut sequens, constat antispasto et iambo. Neque magis necessarium est, quod suspicatur Blomf. διατομαῖσιν οὐ φίλαις et in antistropha τῶν διοσδότων ἀχέων.

920. Praefixi huic versui, monente antistropha, hemichorii personam, quae vulgo abest, sed per errorem hinc ad versum 923. migrasse videtur.

921. ζωὴ M. 2. Viteb. ζόα dedit Blomf., quod metrum non postulat; prima dochmii in strophico longa, in antistrophico brevis est; idem tamen habet Lachm. probatque Elmsl. ad Med. 946. — φονορρύτῳ vulg. sed uno ρ recte scribunt Blomf. Schwenk. et Lachm. postulante metro.

922. εἰσὶν vulg. εἴσ' Regg. A. B. N. Med. M. 1. 2. Seld. Guelph. Mosq. 1. Rob. Brunck. et rell.

923. Chori personam praefigunt Ald. Turn. Vict., hemichorii Rob., quam prorsus omiserunt Schütz. Blomf., nos versui 920. apposuimus.

924. σεισθεὶς Mosq. 1.

925. σίδηρος M. 2. Guelph.

926. διατητὴς Ald. δατητὴς M. 2. Turn. δαητὴς M. 1. δαητὰς Seld. teste Blomf. et Rob. δ' ἀητὰς Guelph. Mosq. 2. δακτὰς Seld. teste Buttlero.

927. Versus non respondet antistrophico. γε πατρὸς dedit Schütz. Lachm. πατρῴαν auctore Burnejo Blomf. Neutrum satis placet. — ἀλαθῆ Vienn. A. C.

928. Antigonae persona vulg. praefigitur, Hemichorio tribuit Brunck. et rell. — ὦ om. Med.

Διοςδότων ἀχέων·
Ὑπὸ δὲ σώματι γᾶς
Πλοῦτος ἄβυσσος ἔσται.

ΗΜΙΧΟΡΙΟΝ β'.

Ἰὼ πολλοῖς ἐπανθίσαντες
Πόνοισί γε δόμους· τελευτᾷ δ'
Αἴδ' ἐπηλάλαξαν
Ἀραὶ τὸν ὀξὺν νόμον,
Τετραμμένου παντρόπῳ φυγᾷ γένους.
Ἕστακε δ' Ἄτας τρόπαιον ἐν πύλαις,
Ἐν αἷς ἐθείνοντο, καὶ δυοῖν
Κρατήσας ἔληξε δαίμων.

ΑΝΤΙΓΟΝΗ.

α'. Παισθεὶς ἔπαισας. προῳδός.

---

929. διοδότων Schütz. Lachm. metri causa, sed non opus est. Antispasto respondet diiambus et ἀχέων disyllabum est.

930. σώμασι Reg. K. σώματος Ald. Turn. χώματι Blomf. ex conjectura inutili, sensum vulgatae enim jam recte explicarunt Schütz. et Heath.

932. Ismenae haec tribuunt Turn. Vict. Glasg., Hemichorio Rob. Brunck. — ἐπανθήσαντες vulg. adversus metrum. ἐπανθίσαντες corrigit Buttlerus, quae confusio est frequentissima, sed recte vidit Blomf., hoc activam vim habere, quare hoc recepto versu sequente δόμους dedit, quod librorum auctoritate non carere mox videbimus. Multo etiam aptius est ad sensum, fratres invocari, quam domum; quare utrumque recepi. ἐπανθίσαντες habet etiam Lachm.

933. πόνοισί γε δόμοι vulg. πόνοισί τε δόμοι Vienn. A. C. πόνοισί γε δόμοις Ald. Barocc. πόνοισι γενέαν πόνοισι δόμοι Reg. L. πόνοισι γενέαν πόνοισί γε δόμους Med. πόνοισί γε δόμους Vienn. B. D., quod cum Blomfieldio recepi, causis ad versum praecedentem prolatis. πόνοις ἀεὶ δόμοι ex Hermanni conjectura Schütz. metro pessumdato. πόνοισι γενέαν Lachm., quod et Hermannus vulgatae praefert, teste Seidlero de verss. dochm. p. 12.

934. τελευτῇ M. 2. — αἴδ' om. Regg. K. Seld. M. 1. 2. ἄδ' Reg. E. — ἀπηλάλαξαν Vienn. B. D.

935. ἀρὰ Reg. E.

936. τετραμμένον Rob. — παντρόφῳ Reg. C. — φυγῇ M. 2. — τοῦ γένους Rob.

937. ἔστακεν Med., addito δ' a secunda manu. — ἐν πύλαις om. Regg. C. K.

938. ἐθείναντο Viteb. quod recepit Blomf. ob sequens ἔληξε, sed hoc ad aliam rem refertur.

939. κρατήσασα Colb. 1. — ἔληξ' ὁ δαίμων Regg. A. B. H. M. 1. 2. Guelph. Mosq. 2., quod receperunt Brunck. Blomf., recipere voluit Schütz., sed vulgatae non est praeferendum.

940. Quae sequuntur, vulg. monostrophica leguntur, et sic

ΙΣΜΗΝΗ.

α. Σὺ δ' ἔθανες κατακτανών.

ΑΝΤΙΓΟΝΗ.

β. Δορὶ δ' ἔκανες.

ΙΣΜΗΝΗ.

β'. Δορὶ δ' ἔθανες.

ΑΝΤΙΓΟΝΗ.

γ'. Μελεόπονος.

ΙΣΜΗΝΗ.

γ'. Μελεοπαθής.

ΑΝΤΙΓΟΝΗ.

δ'. Ἴτω δάκρυα.

ΙΣΜΗΝΗ.

δ'. Ἴτω γόος.

ΑΝΤΙΓΟΝΗ.

ε. Πρόκεισαι

---

habent Brunck. Blomf. Schwenk. Miras turbas excitavit Schütz., qui auctore Hermanno stropham et antistropham fecit, versibus audacissime transpositis et mutatis. Has Schützii lectiones in Addendis exhibebimus. Blomf. satis habuit, versus ita emendare, ut bini semper eodem metro decurrant; quod recte quidem fecit, sed in eo non erat acquiescendum. Recte enim vidit Lachm. de chor. syst. p. 94. sq., carmen, quod sequitur, artificiosissimum ex stropha et antistropha constare, quas praecedit προῳδός, sequitur ἐπῳδός. Per totum autem carmen Ismenae verba eodem metro decurrunt, quo praecedentia Antigonae, id quod litteris additis significavi. — ἔπαισας Rob.

941. Non respondet hic versus praecedenti, et corruptum esse docent variae lectiones: ἔθανες κτανὼν Reg. K. Ven. 2. Vienn. A. ἔκτανες θανὼν Reg. G. ἔθανες κ'ακτανὼν Guelph. Neque latet corruptionis origo, voluit enim sciolus quidam senarium efficere: παισθεὶς ἔπαισας, σὺ δ' ἔθανες κατακτανών. Non displicet Lachmanni emendatio ἔθανες κατακτάς.

942. δορί τ' Guelph. hic et versu sequente. δορὺ δ' Ald. — ἔκανες auctore Hermanno Schütz. et auctore Burnejo Blomf., et sic Lachm. recte, pro vulg. ἔκτανες.

944. μελεοπαθής. μελεόπονος. Guelph.

946. ἴτω γόος. ἴτω δάκρυα Regg. A. B. E. K. Seld. Colb. 1. M. 1. 2. Guelph. Viteb. Mosq. 1. 2., quod hiatus vitandi causa receperunt Brunck. Schütz. Blomf. ἴτω γόος. ἴτω δάκρυ. Lachm. Vulgatus ordo teneri potest, si legitur: ἴτω δάκρυ'. ἴτω γόος, qui apostrophus in diverbio vehementissimo tolerari posse videtur.

948. Vulg. προκείσεται κα-

ΙΣΜΗΝΗ.

ε. Κατακτάς.

ΑΝΤΙΓΟΝΗ.

Α. Ἠὲ ἠὲ, μαίνεται γόοισι φρήν. στροφή.

ΙΣΜΗΝΗ.

Α. Ἐντὸς δὲ καρδία στένει.

ΑΝΤΙΓΟΝΗ.

Β. Ἰὼ ἰὼ πολυδάκρυτε σύ.

ΙΣΜΗΝΗ.

Β. Σὺ δ᾽ αὖτε καὶ πανάθλιε.

ΑΝΤΙΓΟΝΗ.

Γ. Πρὸς φίλου γ᾽ ἔφθισο.

ΙΣΜΗΝΗ.

Γ. Καὶ φίλον ἔκτανες.

ΑΝΤΙΓΟΝΗ.

Δ. Διπλᾶ λέγειν.

τακτάς, quae Antigonae tribuuntur. προκείσεσθαι Guelph. Sed utrumque sensu caret, quare verum videtur πρόκεισαι κατακτάς, quod emendavit Herm. et inter Antigonam et Ismenam distribuit Lachm.

950. Verba ἠὲ ἠὲ Ismenae tribuunt Reg. K. Seld. Rob., quos sequitur Blomf. Sed quatuor, qui sibi respondent, versuum comparatio docet, illud ἠὲ metro repugnare, quare aut hic et in antistropha ἠὲ ἠὲ in ἢ mutandum est, quod fecit Lachm., aut, si illam exclamationem extra versum positam putamus, ἢ post eam inserendum est; reliqui enim versus duo sunt iambici dimetri.

951. ἐν δὲ auctore Burnejo Blomf., ut versus praecedenti respondeat, quod alia ratione effici debere ad versum praecedentem monui. — δὲ om. Reg. K. — καρδία Ald. κραδία Turn.

952. Non respondet versus antistrophico, quare Lachm. dedit ἰὼ πόλει δακρυτὲ σύ, quod tamen incertum est. Blomf., qui et sequentem versum mutat, exhibet ἰὼ πανδάκρυτε σύ, sed ita legere antistrophici non sinunt, qui sunt iambici dimetri. — Alterum ἰὼ om. Reg. E. M. 2. — πανδάκρυτε Med. Seld. Regg. H. L. Colb. 1. 2. M. 1. — σὺ om. Reg. E.

953. αὖ Reg. E. Guelph. quod recepit Blomf. propter versum praecedentem.

954. Versus neque sequenti neque antistrophico respondet, sed illi exaequari potest, si omisso γ᾽ legitur πρὸς φίλου ἔφθισο, et sic scripsit Blomf., de antistrophico autem infra videbimus. Lachm., hoc non mutato, sequentem ita dedit: καὶ φίλον γ᾽ ἔκτανες, quod minus placet. — πρὸς φίλου τ᾽ Vienn. B. D. Turn.

955. φίλος Reg. L.

ΙΣΜΗΝΗ.

Δ. Διπλᾶ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ.

Ε. Ἀχέων τοίων τάδ' ἐγγύθεν.

ΙΣΜΗΝΗ.

Ε. Πέλας αἵδ' ἀδελφαὶ ἀδελφεᾶν.
Ἰὼ Μοῖρα βαρυδότειρα μογερὰ,
Πότνιά τ' Οἰδίπου σκιὰ
Μέλαινά τ' Ἐριννὺς, ἦ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ.

Α. Ἠὲ ἠὲ δυςθέατα πήματα. ἀντιστρ.

ΙΣΜΗΝΗ.

Α. Ἐδείξατ' ἐκ φυγᾶς ἐμοί.

---

958. γόων pro ἀχέων Regg. G. K. Colb. 2. Seld. M. 1. Guelph. Rob. ἀχέω τάδ' var. lect. ap. Schol. B. — ποίων Guelph. — ἐγγύθι Colb. 1. — γόων recepit Lachm., qui totum hunc locum valde corruptum satis audacter ita exhibet:

γόων τοίων τάδ' ἐγγύθεν.
ἀχέων πέλας δ' αἵδ' – ◡ –
ἀδελφεαί.
ἀδελφεῶν.

Mihi quidem in hoc versu nihil mutandum videtur; de sequente quid sentiam, mox dicendum erit.

959. πέλας δ' Med. Regg. A. B. F. Colb. 2. M. 1. Guelph. Seld. πέλαδ Rob. — Offendit in hoc versu, qui prorsus ἄμετρος est, jam Brunck., qui eum ita dedit: πέλας δ' ἀδελφῶν αἵδ' ἀδελφεαί. Blomf. scripsit: αἵδ' ἀδελφαὶ πέλας ἀδελφῶν, quod nescio quomodo cum versus praecedentis metro conciliare velit. Corruptum esse versum, etiamsi metrum non doceret, vel ex eo intelligi posset, quod nulla ejus est ad praecedentia Antigonae verba relatio, qualis per totum hoc diverbium omnibus Antigonae et Ismenae dictis intercedit, quare ita legendum puto:

ἀχέων τοίων τάδ' ἐγγύθεν.
ἀδελφεῶν ἀδελφεαί.

ut ἀδελφεῶν referatur ad ἀχέων, ἀδελφεαί ad τάδε, et supplendum sit ἐγγύθεν, quod significaturus aliquis et explicaturus adscripsit πέλας αἵδ' ἀδελφαὶ ἀδελφεῶν.

960. ἰὼ bis Rob., quem sequitur Blomf.

962. μέλαιν' Ἐριννὺς Glasg. Blomf. sine causa, v. Herm. El. metr. p. 122. In ed. Glasg. praeterea comma ante Ἐριννὺς positum, post hanc vocem deletum est, quo sensus pervertitur. — Ἐρινὺς Brunck. Schütz. Blomf. — τις om. Barocc. Ald.

963. ἠὲ semel Barocc. Ald. Rob., quo confirmatur id, quod ad v. 950. dictum est. — πήματ' Med. M. 1. Guelph.

964. ἐδείξετε Guelph. δεῖξατ' Blomf. propter versum praecedentem, quem a voc. δυςθέατα incipit. — φυγῆς Guelph. φυγᾶν Ven. 2. — ἐμοὶ om. Rob.

ΑΝΤΙΓΟΝΗ.

Β. Οὐδ' ἵκεθ' ὡς κατέκτανεν.

ΙΣΜΗΝΗ.

Β. Σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν.

ΑΝΤΙΓΟΝΗ.

Γ. Ἀπώλεσε δῆτα.

ΙΣΜΗΝΗ.

Γ. Καὶ τὰ τοῦδ' ἐνόσφισεν.

ΑΝΤΙΓΟΝΗ.

Δ. Τάλαν γένος.

ΙΣΜΗΝΗ.

Δ. Τάλανα παθόν.

ΑΝΤΙΓΟΝΗ.

Ε. Δύστονα κήδε' ὁμώνυμα.

ΙΣΜΗΝΗ.

Ε. Δίυγρα τριπάλτων πημάτων.

(ΑΝΤΙΓΟΝΗ.

Ὀλοὰ λέγειν.

---

967. 68. *ἀπώλεσεν* Rob. Turn. Vict. — *τόνδ'* pro *τὸ τοῦδ'* Regg. C. F. G. Colb. 1. M. 1. 2. Ven. 1. Guelph. Seld. Barocc. Ald. Turn. — Corruptos esse hos versus, metrum antistrophicorum docet, idemque passi esse videntur, quod v. 940. sq., corrupti enim sunt, ut senarius efficeretur, decipi tamen se passus est etiam Blomf., non item Herm. El. metr. p. 123. Lachm., qui strophicos male mutavit, hos ita dedit:

ὤλεσεν δῆτ' ἰών.
καὶ τὸ τοῦ νόσφισεν.

Mihi legendum videtur:

ὤλεσε δὴ τάδε.
καὶ τόδ' ἐνόσφισεν.

ἐνόσφισεν pro vulg. *ἐνόσφισε* habent Ald. Rob.

969. *ὦ τάλαν* Reg. G.

970. *τάλανα καὶ πάθεν* vulg. *τάλαινα καὶ πάθεν* Rob. *τάλαιναν καὶ πάθον* Ald. *τάλανα καὶ παθὸν* Med. M. 1. 2. Regg. C. E. Seld. Barocc. Turn. var. lect. ap. Steph. *τάλανα καὶ ἔπαθον* Reg. K. Ven. 2. *τάλανα καὶ πάθος* Guelph. *τάλανα καὶ πάθη* Colb. 1. *τάλανα πάθη* var. lect. in Reg. B. *τάλανα παθὸν* Reg. A. Brunck. Blomf. recte.

971. *δύστονα καὶ κήδε'* Reg. C. Turn. *δύστηνα* var. lect. ap. Steph., unde Blomf. dedit *δύστανα καὶ κήδε' ὁμώνυμα*, nescio quo metro; Lachm. *δίποινα κήδε' ὁμόνομα*, sed sufficit legere *δύστηνα κήδε' ὁμώνυμα.*

972. *τριπάντων* Reg. L.

973. 4. Non habent hi versus, quod in stropha ipsis respondeat, quare Lachm. ibi scripsit

ΙΣΜΗΝΗ.

[Ὀλοὰ δ' ὁρᾶν.]
Ἰὼ Μοῖρα βαρυδότειρα μογερὰ
Πότνιά τ' Οἰδίπου σκιὰ
Μέλαινά τ' Ἐρινὺς, ἦ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ.

ά. Σὺ τοίνυν οἶσθα διαπερῶν. ἐπῳδός.

ΙΣΜΗΝΗ.

ά. Σὺ δ' οὐδὲν ὕστερον μαθών.

ΑΝΤΙΓΟΝΗ.

β'. Ἐπεὶ κατῆλθες ἐς πόλιν.

ΙΣΜΗΝΗ.

β'. Δορός γε τῷδ' ἀντηρέτας.

ΑΝΤΙΓΟΝΗ.

γ'. Ὀλοὰ λέγειν.

ΙΣΜΗΝΗ.

γ'. Ὀλοὰ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ.

δ'. Ἰὼ ἰὼ πόνος.

ΙΣΜΗΝΗ.

δ'. Ἰὼ ἰὼ κακά.

ἀδελφεαί. ἀδελφεῶν. Sed malim hos versus ejicere, qui ex v. 982., ubi eadem aptius leguntur, huc irrepsisse videntur, quare uncinis inclusi.

975. sqq. ἰὼ om. Reg. L. Colb. 2. Seld. — βαρυδότηρα Guelph. — πότνια. δ' Barocc. — μέλαιν τ' Ald. De reliquis eadem, quae ad stropham, monenda sunt.

979. ὕστερος Med. Regg. H. L. Seld. Colb. 1. M. 1. 2. Guelph. Ald. Rob., quod recepit Lachm. forsitan recte.

981. τῷ γ' Cant. Stanl.

984. ἰὼ πόνος οὑφ' ἡμῖν Vict. ἰὼ πόνος ὁ ἐφ' ἡμῖν Colb. 1. ἰὼ πόνος οὑφ' ἡμῖν ἐξημμένος Reg. K. Guelph. M. 2. ἰὼ πόνος ὑφ' ἡμῖν ἐξημμένος Ven. 2. ἰὼ πόνος ἐφ' ἡμῖν ἐξημμένος Vienn. B. D. ἰὼ ἰὼ πόνος ὁ ἐφ' ἡμῖν ἐξημμένος Rob. sed glossemata illa omittunt Regg. A. B. Med. Ven. 1. Seld. Barocc. Ald. Turn. Brunck. et rell. — ἰὼ κακά, altero ἰώ omisso, M. 2. Barocc. Ald. Turn. Sed patet ita legendum esse, ut dedi: ἰὼ ἰὼ πόνος. — ἰὼ ἰὼ κακά, ut sint dochmiaci. Blomf. neglecta abhinc versuum responsione, habet: ἰὼ πόνος. — ἰὼ κακὰ δώμασιν. Lachm. ἰὼ πόνος. — ἰὼ κακά.

ΑΝΤΙΓΟΝΗ.

ε΄. Δώμασι καὶ χθονί.

ΙΣΜΗΝΗ.

ε΄. Πρὸ πάντων δ᾽ ἐμοί.

ΑΝΤΙΓΟΝΗ.

ϛ΄. Ἰὼ ἰώ, καὶ πρόσω γ᾽ ἐμοί.

ΙΣΜΗΝΗ.

ϛ΄. Ἰὼ ἰώ, δυστόνων κακῶν.

ΑΝΤΙΓΟΝΗ.

ζ΄. Ἰώ, ἄναξ Ἐτεόκλεις ἀρχηγέτα.

ΙΣΜΗΝΗ.

η΄. Ἰὼ πάντων πολυπονώτατοι.

ΑΝΤΙΓΟΝΗ.

θ΄. Ἰὼ δαιμονῶντες ἐν ἄτᾳ.

ΙΣΜΗΝΗ.

ζ΄. Ἰὼ ἰώ, ποῦ σφε θήσομεν χθονός;

---

986. 7. καὶ τῇ χθονὶ omisso δώμασι Rob. — καὶ χθονὶ om. Reg. G. — δ᾽ om. Guelph. — ἰὼ καὶ χθονί, πρὸ πάντων δ᾽ ἐμοί Blomf. δόμοις καὶ χθονί. — πρὸ πάντων δ᾽ ἐμοί. Lachm., qua mutatione non opus est, quum versus sint dochmiaci.

988. ἰὼ alterum om. M. 1., utrumque Regg. G. K. L. Colb. 1. 2. M. 2. Seld. Guelph. — καὶ τὸ πρόσω γ᾽ Regg. G. K. L. Colb. 1. 2. M. 2. Seld. Barocc. Ald. Turn. τὸ πρόσω τ᾽ Rob. omisso καὶ.

989. ἰὼ semel Seld. Barocc. Guelph. Ald. — δυσπότμων Regg. A. F. G. K. Colb. 2. M. 1. Seld. Ven. 2. Guelph. quod receperunt Brunck. Lachm. δυστήνων M. 2. Viteb. δυστάνων Med. Barocc. Regg. B. E. Vienn. A. B. C. D. Ald. quod recepit Blomf., forsitan recte. — πημάτων pro κακῶν Reg. C. M. 2. Vienn. B. C. D. var. lect. in Reg. B. — Mihi quidem hic et praecedens versus ita legendi videntur:

ἰώ, καὶ τὸ πρόσω γ᾽ ἐμοί.
ἰώ, δυστάνων κακῶν.

990. Sex qui sequuntur versus non eo, quo superiores, ordine sibi respondent, sed eo, quem litterae additae indicant, quod neque Blomf. neque Lachm. viderunt. — Ἐτεόκλεις ἀρχηγέτα desunt in Med. Regg. B. C. H. L. — ἀρχαγέτα Blomf. et sic Vienn. A.

991. πάντων πολυστονώτατοι Vict. πολυστονώτατοι πάντων Rob. πάντων πολυπονώτατε Guelph. πολυπονώτατοι πάντων Viteb. πάντων πουλυπονώτατοι Brunck. ἰὼ πολυπονώτατοι Lachm. sed nihil mutandum est, versus dochmio et iambo constat, ut is cui respondet.

992. ἰὼ bis Rob. Blomf. — δαιμονῶντος Rob. — ἐν omittunt Regg. F. G. Colb. 2. Guelph. Seld. Blomf. male. — ἄτῃ M. 2.

993. ἰὼ semel M. 2. — ποῖ

ΑΝΤΙΓΟΝΗ.

ή. Ἰὼ ὅπου τιμιώτατον·

ΙΣΜΗΝΗ.

θ'. Ἰὼ πῆμα πατρὶ πάρευνον.

ΚΗΡΥΞ.

Δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
Δήμου προβούλοις τῆςδε Καδμείας πόλεως·
Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς
Θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·
Εἴργων γὰρ ἐχθροὺς, θάνατον εἷλετ' ἐν πόλει·
Ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ
Τέθνηκεν, οὗπερ τοῖς νέοις θνήσκειν καλόν.
Οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν.
Τούτου δ' ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
Ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσὶν,
Ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονὸς,
Εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
Τῷ τοῦδ'. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
Θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε,

Reg. H. M. 1. — τήσομεν Ald. θήσομαι Ven. 2. θάψομαι M. 2. — χθονὶ Guelph. ἐν χθονὶ Seld.

994. ἰὼ bis Colb. 2. M. 1. Seld. Guelph. Reg. F. Rob. Blomf. adversus metrum.

995. ἰὼ ἰὼ vulg. ἰὼ semel Reg. F. M. 1. 2. — πάτριον Colb. 2.

996. δοκοῦντα καὶ μέλλοντ' Reg. A. unde Brunck. μέλοντ' dedit. Etiam ed. Glasg. obelum ante δόξαντ' posuit, et Blomf. legendum suspicatur: ὑμῖν τὰ μὲν δόξαντ'. Sed nihil mutandum est. — ἀπαγγεῖλαι Vienn. B. D.

997. χθονὸς pro πόλεως M. 1. probante Blomfieldio, qui πόλεως sequente versu legi mavult.

998. εὐναίᾳ Ald.

999. ταῖς φίλαις Vienn. B. D. γῆς φίλης suspicatur Blomf.

1000. στυγῶν Regg. E. N. var. lect. in Colb. 2. Ven. 1. Barocc. Viteb. Ald. Turn. Vict. Brunck. εἴργων Rob., et, ut videtur, reliqui libri, Glasg. et rell. — γὰρ om. Guelph. — εἷλ' ἐν πόλει Colb. 2. εἷλε πόλεως Reg. L.

1002. οὗπερ Ald. ὥσπερ suspicatur Blomf.

1003. οὕτως Blomf. — ἐντέταλται Vienn. C.

1006. ὡς ὅτ' Rob. — Καδμείας ex uno Reg. A. dedit Brunck., quem male sequuntur Glasg. Schütz. Blomf.

1008. ἄτος Mosq. 1. — κεκλήσεται Reg. L.

Στράτευμ' ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν.
Οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
Ταφέντ' ἀτίμως, τοὐπιτίμιον λαβεῖν·
Καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα,
Μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
Ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο·
Τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.

ΑΝΤΙΓΟΝΗ.

Ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
Ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
Ἐγώ σφε θάψω, κἀνὰ κίνδυνον βαλῶ,
Θάψασ' ἀδελφὸν τὸν ἐμὸν, οὐδ' αἰσχύνομαι
Ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
Δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
Μητρὸς ταλαίνης, κἀπὸ δυστήνου πατρός.

1010. *ᾕρει πόλιν* Ald.

1011. *οὕτως* Blomf. *τούτου* Schütz. male.

1012. *τοὐπιτίμια* Colb. 1.

1013. *τυμβέα* Barocc. Ald. — De tribracho in sede quarta vid. Elmsl. ad Med. 492.

1014. *προσέβειν* Guelph. Ald.

1015. *ἄτιμον δ' εἶναι* Barocc. Ald. *ἄτιμον δ' εἶν* Reg. L. *ἄτιμον εἶναι δ'* reliqui libri omnes, quae male ita transposuit Brunck. *εἶναι δ' ἄτιμον*, sequuntur tamen Glasg. Schütz. Blomf. Schwenk. — *ἐκφορὰν* M. 1. et suprascr. in Colb. 2.

1016. *τῷ γε* Reg. F. quod recepit Blomf. Audacius etiam Schütz. dedit: *ταῦτ' ἀμφὶ τοῦδ' ἔδοξε*, sine causa. De *τῷδε* vid. ad v. 613.

1017. *γε* om. Barocc. Ald. Rob., unde Blomf. suspicatur, *προστάταισι Καδμείων* legendum esse.

1018. *εἰ μὴ* Ald. Turn.

1019. *κἀνὰ ἀκίνδυνον βάλω* Ald. *κἂν ἀκίνδυνον βαλῶ* Vienn. B. D. *κἀνακίνδυνον βαλῶ* Vienn. A. C. *κἂν ἀκίνδυνον βάλλω* Mosq. 2. (*βάλλω* etiam M. 1.) *κἂν ἀκίνδυνον λάβω* Mosq. 1. *κἂν εἰς κίνδυνον βαλῶ* Rob. Obelum apposuit Glasg. quare Blomf. ex conjectura dedit *κἀμὲ κινδύνῳ βαλῶ*, quia *ἀναβάλλειν κίνδυνον* nunquam pro *ἀναῤῥίπτειν* vel *παραβάλλειν* dici contendit. Mihi quoque vulgata dubia videtur, quamquam *μάχας ἀναβάλλεσθαι* eodem sensu dictum est apud Herod. V, 49.

1020. *ἐμὸν δ' οὐκ αἰσχύνομεν* Rob.

1021. *πόλιν* Guelph.

1022. *δεινὸν γάρ τὸ* Regg. K. L. Ven. 2. Rob.

1023. *κἀπὸ* obelo notavit Glasg., *καὶ τὸ* emendavit Pauw. quod placet Blomfieldio, sed usitatissima est haec praepositionis collocatio. v. Herm. ad Vig. p. 864. Ruhnk. epist. crit. p. 130.

Τοιγὰρ θέλουσ᾽ ἄκοντι κοινώνει κακῷ
Ψυχὴ, θανόντι ζῶσα συγγόνῳ φρενί.
Τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες
Λύκοι πάσονται· μὴ δοκησάτω τινί.
Τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγὼ,
Γυνή περ οὖσα, τῷδε μηχανήσομαι
Κόλπῳ φέρουσα βυσσίνου πεπλώματος.
Καὐτὴ καλύψω· μηδέ τῳ δόξη πάλιν·
Θάρσει παρέσται μηχανὴ δραστήριος.

ΚΗΡΥΞ.

Αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τόδε.

ΑΝΤΙΓΟΝΗ.

Αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.

1024. *κοινωνεῖ* Reg. G., quod mavult Blomf. — *κακῷ* vulg. Glasg. Schwenk. *κακῶν* Regg. G. H. K. N. Colb. 2. M. 1. Ven. 2. Seld. Guelph. Rob. Brunck. Schütz. Blomf. recte.

1025. *ψυχῇ* Ald.

1026. *τούτῳ δὲ* Reg. L. Vienn. B. D. — *δὲ* om. Guelph. — *οὔτε* Guelph. *οὔτε* suspicatur Blomf. sed *οὐδὲ* refertur ad v. 1005. *ἁρπαγὴν κυσίν*. — *κοιλογάστερες* Viteb.

1027. *φάσονται* vulg. et Glasg. cum obelo. *σπάσονται* Regg. A. B. E. F. G. Seld. Barocc. M. 1. 2. Viteb. Mosq. 1. 2. var. lect. ap. Turn. et Steph. et sic Brunck. Schütz. Blomf. Schwenk., probante Schaefero ad Schol. Apollon. Rhod. p. 280. sed praeferendum vulgatae non videtur. — De imperativo aoristi cum *μή* juncto vid. Elmsl. in Mus. crit. Cantabr. IV. p. 482. s.

1028. *αὐτοῦ* Guelph. *αὐτῇ* ex emendatione Piersoni Verisimil. I, 3. p. 41. receperunt Glasg. Schütz. Blomf., quod minime necessarium videtur. Nam quod sequitur *τῷδε*, ea est repetitio tum per se, tum propter interjectum *γυνή περ οὖσα* facile toleranda, (nam *τῷδε* cum Brunckio ad *κόλπῳ* referre ridiculum est) *αὐτῇ* autem prorsus otiosum foret.

1029. *οὖσα* om. Rob.

1030. *κόλποις* suprascr. in Guelph.

1031. *καὐτῇ* Rob. — *μὴ δέτω* Ald. Rob. *μηδέ σοι* Brunck. male.

1032. Vulgo post *θάρσει* comma ponitur, ut sit allocutio sui ipsius, sed comma deleverunt Glasg. Blomf., ut *θάρσει* sit substantivum, idque necessarium est, nam et allocutio illa hic minus apta est, et verba *μηδέ τῳ δόξῃ πάλιν* otiosam haberent repetitionem eorum, quae v. 1027. dicta sunt, nisi sequitur id, propter quod nemini contra videri debet. — *σωτήριος* M. 1.

1033. *τάδε* Med. M. 1. 2. Colb. 1. 2. Seld. Rob. Brunck.

ΚΗΡΥΞ.

Τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.

ΑΝΤΙΓΟΝΗ.

Τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται.

ΚΗΡΥΞ.

Ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;

ΑΝΤΙΓΟΝΗ.

Ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς;

ΚΗΡΥΞ.

Οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.

ΑΝΤΙΓΟΝΗ.

Παθὼν κακῶς, κακοῖσιν ἀντημείβετο.

ΚΗΡΥΞ.

Ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.

ΑΝΤΙΓΟΝΗ.

Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
Ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.

1035. κανὰ Ald.

1036. τραχύνεσθ' Ald. et var. lect. ap. Turn. τραχὺς Rob. τραχύς γ' ex Burgessii emendatione Blomf., qua non opus est. Recte sic adloquitur κήρυκα, qui personam populi agit. — δ' male omittunt Glasg. Schütz.

1037. σὺ κοσμήσεις M. 1. cum var. lect. τιμήσεις. σὺ τιμήσειας Guelph. Vienn. A. σὺ μὴ τιμήσῃς Vienn. D. μὴ σὺ τιμήσεις Vienn. B.

1038. οὐ διατετίμητος Seld. οὐ τετίμηται Viteb. οὐκ ἠτιμήται Heathio auctore dederunt Brunck. Schütz. Peritiorem manum exspectat Blomf. Vulgatam Schwenk. explicat: *Nonne jam a Diis quam maxime honoratus est?* in quibus sensum non video. Locus mihi sic interpretandus videtur: *Num jam a Diis hic dehonestatus est?* ut οὐ διατετίμηται positum sit pro ἠτετίμηται. Quare interrogationis notam addidi, quae vulgo abest. Huic deinde interrogationi aptissimum est, quod respondet praeco.

1039. λαβεῖν Reg. L.

1040. ἀντημείψατο M. 1. suprascr. vulg. ἀντιμείβετο Guelph. Ald. ἀνταμείβεται Reg. E.

1041. αὐθενὸς Guelph.

1042. περαίνοι Ald. — Hunc versum praeconi adsignant Ald. Turn. Vict. Blomf., Antigonae ceteri. Blomf. tamen eum uncis inclusit, tanquam adscriptum a lectore diligente. Et revera ad sensum facillime desiderari potest, turbat autem diverbii singulis versibus decurrentis ordinem.

1043. θάψων Ald.

ΚΗΡΥΞ.

Ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

ΧΟΡΟΣ.

Φεῦ φεῦ.
Ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐριννύες, αἵτ' Οἰδιπόδα
Γένος ὠλέσατε πρυμνόθεν οὕτως.
Τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
Πῶς τολμήσω μήτε σὲ κλάειν,
Μήτε προπέμπειν ἐπὶ τύμβον;
Ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
Δεῖμα πολιτῶν.
Σύ γε μὴν πολλῶν πενθητήρων

1044. ἦσθ' Reg. K. Colb. 2. M. 2. Seld. Vienn. A. C. D. Rob. ἴστ' Vienn. B. — ἀπ' ἐννέπω Guelph.

1045. Haec hemichorio vulgo tribuuntur, Chori personam habet Arr., quem recte sequitur Blomf.

1046. θαρσυγενεῖς Rob.

1047. Ἐριννύες Blomf. — αἴδ' M. 3. — Οἰδιπόδος Guelph.

1048. ἄγενος Guelph. — ὀλέσατε Lips. 2. ὠλέσατε legit Elmsl. ad Med. 814. scilicet ne vocalis ante πρ producatur. — πρέμνοθεν Blomf. ex emendatione Is. Vossii ad Hesych. vv. αὐτόπρεμνος. πρύμναδε. quae non est quod vulgatae praeferatur.

1049. Huic versui Antigonae nomen praefigunt Rob. Vict. Glasg., Ismenae Regg. A. B. Barocc. Ald. Turn. Brunck., neutrum satis apte. Rectius Choro haec continuant Schütz. Blomf. — μήσομαι Lips. 2. Guelph. Vienn. B. C. D.

1050. πῶς bis M. 1. Ven. 1. Ald. Rob. — μήτε omisso σὲ Reg. H. μήποτέ σε Barocc. Reg. L. Ven. 1. Ald. μή σε Rob. μήποτε om. σὲ Turn. — κλάειν vulg. κλαύσειν Colb. 1. κλάειν Reg. A. Ald. Rob. Turn. Brunck. et rell.

1051. μήτε σε προπέμπειν vulg. μήποτέ σε π. Barocc. Ald. Rob. Turn. μήποτε π. Reg. E. Ven. 1. 2. μήτε π. Regg. A. B. Guelph. Lips. 2. Brunck. et rell. — τύμβῳ vulg. et Glasg. τύμβων Rob. τύμβον Regg. A. K. L. et var. lect. in B. Seld. Lips. 2. Mosq. 2. Brunck. Schütz. Blomf. Schwenk. recte.

1052. καὶ ἀποτρέπομαι legendum putat Lobeck. ad Aj. p. 443. cui libri non favent.

1053. Hunc versum omittit Lips. 2.

1054. Hinc alterum hemichorium vulg. incipit, quod falsum esse vel ex eo patet, quod versus praecedens non est paroemiacus. — σύ γε μὲν M. 1. Lips. 2. — πενθητηρίων Vienn. B. D.

Τεύξῃ· κεῖνος δ' ὁ τάλας ἄγοος
Μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
Εἶσι. τίς οὖν ταῦτα πίθοιτο;

ΗΜΙΧΟΡΙΟΝ.

Δράτω πόλις καὶ μὴ δράτω
Τοὺς κλαίοντας Πολυνείκην.
Ἡμεῖς μὲν ἴμεν, καὶ συνθάψομεν
Αἴδε πρόπομποι. καὶ γὰρ γενεᾷ
Κοινὸν τόδ' ἄχος, καὶ πόλις ἄλλως
Ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

ΗΜΙΧΟΡΙΟΝ.

Ἡμεῖς δ' ἅμα τῷδ', ὥςπερ τε πόλις

1055. τεύξει Glasg. et rell. invitis libris.

1056. μονόκλαυστον Guelph. Vienn. B. D. — θρῆνον ἔχων M. 2. Colb. 1. Lips. 2. Vienn. B. D. Ald. Rob.

1057. εἶσι. τίς οὖν ταῦτα πίθοιτο; vulg. εἶσι. τίς οὖν ταῦτα πείθοιτο; Barocc. Vienn. B. D. Ald. Rob. εἶσι. τίς οὖν τὰ πείθοιτο; Vienn. C. εἶσιν. τίς ἂν οὖν πείθοιτο; Reg. H. Med. Colb. 1. εἶσι. τίς ἂν οὖν τὰ πείθοιτο; Reg. L. Colb. 2. (ubi suprascr. ταῦτα πίθοιτο) M. 2. εἶσι. τίς ἂν οὖν τὰ πίθοιτο; Turn. εἶσι. τίς οὖν ἂν τὰ πείθοιτο; M. 1. εἶσι. τίς ἂν οὖν ταῦτα πείθοιτο; Lips. 2. εἶσιν. τίς ἂν οὖν ταῦτα πίθοιτο; Reg. A. et suprascr. in B. et sic Brunck. Schütz. Schwenk., quod vel propterea falsum est, quod paroemiacus hic necessarius est. εἶσι. τίς ἂν ταῦτα πίθοιτο; Glasg. et Blomf., particula οὖν sine librorum auctoritate omissa. Vulgata nihil offensionis habet, nisi quod ἂν abest, quod hic recte abesse posse puto, vid. Comment. Aeschyl. p. XI. Si quis mordicus illud teneat, et potius legendum erit: εἶσιν. τίς ἂν οὖν τὰ πίθοιτο;

1058. δράτω πόλις vulg. metro claudicante. δράτω δὲ πόλις Turn. δράτω τε πόλις ex emendatione Canteri Brunck. et rell. sed malim, quod sensus postulare videtur, δράτω τι πόλις, jamque in idem incidisse video Elmslejum ad Eur. Med. 1224. qui quam facile ΤΙ ante Π excidere possit, exemplis probat. Nam quod illud τι interdum omitti contendit Doederl. Specim. p. 28., id hoc ipso loco maxime nititur.

1059. κλάοντας sine libris Glasg. Blomf. — Πολυνείκῃ Reg. G.

1060. ἡμεῖς μέν γ' Med. ἡμεῖς γὰρ Colb. 1. M. 2. Ven. 1. Seld. Barocc. Lips. 2. Guelph. Ald. Turn. ἡμεῖς μὲν γὰρ Colb. 2. M. 1. Rob. — ἴομεν Guelph. — ξυνθάψομεν Brunck. et rell. invitis libris.

1061. μετὰ γὰρ Reg. L.

1062. ἄχθος Lips. 2. Vienn. Rob. ἄκος vitium typ. in ed. Stanl. Glasg. Buttl. — γ' ἄλλος Colb. 1. Lips. 2. οὐκ ἄλλως Rob.

1064. ὥσπερ τις πόλις Seld.

Καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
Μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν,
Ὅδε Καδμείων ἤρυξε πόλιν
Μὴ 'νατραπῆναι, μηδ' ἀλλοδαπῶν
Κύματι φωτῶν
Κατακλυσθῆναι ταμάλιστα.

Barocc. ὥσπερ πόλις Guelph. Obelum apposuit Glasg., ut videtur propter antepositum τε, quare Blomf. suspicatur ὡς ἡ τε πόλις, sed vid. quae ad Prom. 42. monui.

1066. θεῶν pro Διὸς M. 2.

1067. Καδμείαν suspicatur Blomf. sine causa.

1068. μὴ ἀνατραπῆναι M. 1. 2. Med. Lips. Guelph. Seld. Barocc. Rob. et sic Blomf. μὴ ἀνατροπῆναι Ald. — ἀλλοδαπῷ Regg. H. L. Colb. 2. Vienn. B. D. ἀλλοδαπᾶν Lips. 2.

1070. συγκατακλυσθῆναι Guelph. — τὰ μάλιστα Vienn. B. D. Ald.

Ι Κ Ε Τ Ι Δ Ε Σ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΧΟΡΟΣ ΔΑΝΑΙΔΩΝ.
ΔΑΝΑΟΣ.
ΒΑΣΙΛΕΥΣ ΑΡΓΕΙΩΝ.
ΚΗΡΥΞ.

Deest personarum index in Ald. Rob. — *Πρεσβύτης* et *Κόραι* adjiciunt Turn. Vict., quas personas recte omittunt Schütz. Both. Burgess. Praeterea Both. adjicit *Ναῦται*, Burgess. *ὁ τοῦ Πελασγοῦ ὄχλος δορύσσοος* et *ὁ τῶν Αἰγυπτιάδων ὄχλος ναυτικός*.

Ι Κ Ε Τ Ι Δ Ε Σ.

ΧΟΡΟΣ.

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
Στόλον ἡμέτερον νάϊον ἀρθέντ᾽
Ἀπὸ προστομίων λεπτοβαθῶν
Νείλου. Δίαν δὲ λιποῦσαι
Χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,

1. Tres primi versus vulgo ita leguntur:

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
Στόλον ἡμέτερον
Νάϊον ἀρθέντ᾽ ἀπὸ προστομίων
Λεπτοβαθῶν

quos in tres dimetros contrahere non dubitavi.

2. *ναίων* var. lect. ap. Turn. *ναῗον* Glasg. — *ἀροίντ᾽* Med. Reg. L. Guelph. Ald. Rob. *ἀρθέντα* Turn.

3. *ἀπὸ στομίων* Ald. *πρὸ στομίων* omisso *ἀπὸ* Turn. *ἀποπρὸ στομίων* ex conjectura Burgess., quia *προστόμια* de fluvii ostiis non dicatur, sed neque *στόμια* hoc significatu adhiberi exemplis probare poterit et *ἀποπρὸ* sensui minus aptum est. — *λεπτοβαθῶν* Vict. Glasg. *λεπταμαθῶν* var. lect. ap. Steph. Schütz. *λεπτοματῶς* Reg. L. *λεπτομαθῶν* Med. Guelph. Ald. Rob. Turn. haec omnia contra metrum, quare Stanl. *τῶν λεπτοβαθῶν* vel *τῶν λεπταμαθῶν* legi voluit, Both. *ἀπὸ λεπτοβαθῶν* dedit, *προστομίων* pessime omisso. Certissimum videtur *λεπτοψαμάθων*, quod conjecit Pauw., recepit Burgess., unde variae lectiones facillime explicari possunt, *λεπτοβαθῶν* enim ex frequentissima litterarum $\bar{\beta}$ et $\bar{\mu}$ permutatione natum est.

4. *διαν* Turn. — *λειποῦσαι* Phil. Reg. L. Guelph. Ald. Rob. unde propter paroemiacum hic non aptum, in quo praeter Pauw. et Burgess. editorum nullus offendit, non aegre ferrem, si quis liber aut *προλείπουσαι* praeberet, aut *ἐκλείπουσαι*, quod conjicit Seidl. ad Eur. Troad. 176., participium praesentis enim propter *φεύγομεν* ferri potest. Sed vid. Herm. El. metr. p. 578. sq.

5. *Συρίαν* Reg. L. *Συρία* Ald.

Οὔτιν' ἐφ' αἵματι δημηλασίαν
Ψήφῳ πόλεως γνωσθεῖσαι·
Ἀλλ' αὐτογένητον φυξάνορα
Γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ'
Ὀνοταζόμεναι.
Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος,
Καὶ στασίαρχος, τάδε πεσσονομῶν,
Κύδιστ' ἀχέων ἐπέκρανεν,
Φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον·
Κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ

---

6. *οὔτιν' ἐφ' αἵματι δημηλασίᾳ*, vulg., quod falsum esse evincit iota dativi elisum; tacet tamen Schütz., facillime se expedivit Both., qui ita legit: *Οὐ γνωσθεῖσαι δημηλασίᾳ Ψήφῳ πόλεως*. Burgess. in textu dedit *οὔ τιν' ἐφ' αἵματι δημηλασίαι*, in notis suspicatur *οὔτε κάθαρμά τι δημαλασίαι*. Sed vera est Tyrwhitti emendatio *δημηλασίαν*, quam probant Lobeck. ad Aj. p. 340. et Elmsl. ad Heraclid. p. 116. ed. Lips. Accusativum aptis exemplis vindicat Lobeck., jota autem subscriptum quam saepe cum *ν* confundatur, in vulgus notum est, cf. Schaefer. melet. crit. p. 109., et ipsum illud *δημηλασίαν* in duobus codd. Spanhemii libroque Aurati legi testatur Schütz.; quare recipere non dubitavi. Hinc addatur lexicis substantivum *δημηλασία*.

7. Difficultatem movet *γνωσθεῖσαι* pro *καταγνωσθεῖσαι* positum, et paroemiacus spondaico exitu, quare Both. eam, quam supra attuli, mutationem fecit, Lobeck. *καταγνωσθεῖσαι* reciperet, si metrum ferret, Burgess. dedit *πόλεως, ψήφῳ τε καταγνωσθεῖσ'*, sed de spondaeo vid. Herm. El. metr. p. 378.

8. *αὐτογενῆ τὸν* vulg. *αὐτογένητον* Ald. Rob., quod recepi, quia articuli collocatio incommoda est. — *φυλαξάνορα* Guelph. Med. sed in hoc antiqua manu additum *γρ. φυξάνοραν.* — *φυλαξάνοραν* Ald. Rob. Ceterum *γάμος αὐτογένητος* eadem ratione dictum est, qua Soph. Ant. 856. *κοιμήματα αὐτογένητα*, neque dissimili ratione *γάμος φυξάνωρ* est *connubium cum viris, quos fugimus*. Quare neque Schützii emendatione *αὐτογενήτων* egemus, neque Bothii *ἀλλ' αὐτογενῆ τοι φυξάρσενα*, neque Burgessii *ἀλλ' Αἰγύπτου παίδων ἀσεβῆ — γάμον, αὐτογενῆ τὰ φυλαξάνορα — νόμιμ' ἀζόμεναι.*

13. *κήδιστ'* conjecerunt Aurat. et Inc. ap. Burgess., hic autem *κέρδιστ'* dedit, sine ulla causa; honestissima calamitatum erat fuga. — *ἀχαίων* Med. suprascr. ε. — *ἐπέκρανε* vulg. *ἐπέκρανεν* Heath. Schütz. Both. Burgess.

14. *ἀνέδην δὲ διὰ* Rob. — *κυμβάλεον* Ald. *κυμβαλέον* Turn. Vict. *κυμαλέον* Rob. ex conj., in cod. enim ejus legitur *κυβαλέων*. Canteri conjecturam *κῦμ' ἅλιον* recte receperunt omnes.

15. *κέασαι* Med. Reg. L. et cod. Rob. *κελασε* Guelph. *καλσασε* Ald. *κάλσεεν* Turn. *κέλσαι* Rob. e conj. et Vict.

Γένος ἡμέτερον, τῆς οἰστροδόνου
Βοὸς ἐξ ἐπαφῆς, κἀξ ἐπιπνοίας
Διὸς εὐχόμενον τετέλεσται.
Τίνα γοῦν χώραν εὔφρονα μᾶλλον
Τῆςδ' ἀφικοίμεθα,
Σὺν τοῖςδ' ἱκετῶν ἐγχειριδίοις
Ἐριοστέπτοισι κλάδοισιν;
Ὧν πόλις, ὧν γῆ, καὶ λευκὸν ὕδωρ,
Ὕπατοί τε θεοὶ, καὶ βαρύτιμοι
Χθόνιοι θήκας κατέχοντες,
Καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ,
Ὁσίων ἀνδρῶν, δέξαιθ' ἱκέτην
Τὸν θηλυγενῆ στόλον αἰδοίῳ

---

16. *οἰστροδίμου* Phil. *οἰστρόδομον* Reg. L. *οἰστροδόμου* Guelph. Ald. Rob. *οἰστροδόνου* Turn. Vict. et rell.

17. *ἐπιπνοίας* Med. et Phil. a prima manu, sed *π* est erasum, ut sit *ἐπινοίας*, et hanc lectionem habent Guelph. Ald. Rob: sed illam tuentur etiam Turn. Vict. et v. 44. Verba *κἀξ ἐπιπνοίας* ejecit Both. sequente Schütz., tanquam illinc huc translata, verba *βοὸς, ἐξ ἐπαφῆς* omittit Burgess., uterque injuria.

18. *τετελέσθαι* ex conjectura inutili dedit Schütz., quam recepit tamen Bothius.

19. *τίνα οὖν* Med. Guelph. Ald. Rob. *τίνα γοῦν* Turn. Vict. Schütz. Both. *τίν' ἂν οὖν* Burgess., sed *ἂν* hic recte abesse posse probavit Herm. ad Soph. Aj. 904.

22. *ἱεροστέπτοισι* vulg. *ἐριοστέπτοισι*, quod Scaliger, Auratus, et Stanl. conjecerunt, recte receptum est ab omnibus. — *κλάδοισιν* pro vulg. *κλάδοισι* omnes inde a Glasg.

23. *ὧν πόλις, ὧν γῆ καὶ λευκὸν ὕδωρ* Vict. Rob. e conj. et, ut videtur, codd. *ὧν πόλις, ὧν γῆς λ. ὕ.* Ald. Turn. *ὦ πόλις, ὦ γῆ καὶ λ. ὕ.* cod. Rob. et sic e conjectura dedit Stanl., quem sequitur Schütz. *εὔπολις ὦ Γῆ καὶ λ. Ὕ.* emendavit Both. *ὧν πόλος ὧν γῆ καὶ λ. ὕ.* Burgess. Sed vulgata proba est: *vos, quorum est et urbs et terra et aqua, Dii superi inferique atque Jupiter.* Ita etiam *τρίτος*, quod ex Schütziana lectione sensu caret, nullam habet difficultatem.

24. *χ' οἱ βαρύτιμοι χθονίας θήκας κατέχοντες* Burgess. sed articulus minime necessarius est et *χθόνιοι θήκας κατέχοντες* eundem sensum fundit, quem voluit ille.

27. *δέξαιθ'* Rob. Vict. *δέξαιτ'* Ald. Turn. *δέξασθ'* auctore Heathio Schütz. Both. Burgess., quae mutatio non est necessaria, potest enim hoc votum optativo efferri, quamquam infra ponitur imperativus *πέμψατε*.

Πνεύματι χώρας· ἀρσενοπληθῆ δ'
Ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
Πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
Θεῖναι, ξὺν ὄχῳ ταχυήρει
Πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι
Χειμωνοτύπῳ, βροντῇ στεροπῇ τ'.
Ὀμβροφόροισίν τ' ἀνέμοις, ἀγρίας
Ἁλὸς ἀντήσαντες, ὄλοιντο,
Πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει,
Σφετεριξάμενον πατραδελφείαν
Τήνδ' ἀεκόντων, ἐπιβῆναι.
Νῦν δ' ἐπικεκλόμεναι στρ. α΄.
Δῖον πόρτιν ὑπερ-
πόντιον τιμάορ', Ἶνίν τ'
Ἀνθονομούσας προγόνου
Βοὸς ἐξ ἐπιπνοίας

29. *αἰδοίῳ πνεύματι χώρας* *cum benevolentia terrae*, i. e. *incolarum*, inutilis igitur est Bothii emendatio *χώραις*, inepta Burgessii *αἰδοίῳ νεύματι κόρσας*.

30. *δεσμὸν* Ald. Rob. *δ' ἑσμὸν* reliqui recte.

31. *ἐνασώδει* Ald.

32. *ξυνόχωτα χυήρει* Ald.

35. *ὀμβροφόροισι* vulg., quod recte inde a Pauwio in *ὀμβροφόροισιν* mutatum est. — Verba *ἀγρίας ἁλὸς ἀντήσαντες* commatibus includenda esse, recte vidit Elmsl. in Classical Journ. XV. p. 209., vulgo enim genitivi minus commode cum *ἀνέμοις* junguntur.

38. *σφετεριξαμένων* Scalig. et Spanh. ad Julian. p. 25. B. male; *σφετεριξάμενοι* Burgess. ex conjectura incerti cujusdam in libro Vossiano, et sic Hermannus quoque emendare videtur ad Soph. Aj. 702., neque improbarem, si in codice reperiretur, quamquam vulg. quoque defendi potest, ad quam *ἑσμόν* aut *τινά* supplendum est. — *πατραδελφείαν* pro vulg. *πατραδελφίαν* metri causa reposuerunt Pauw. Schütz. Both. Burgess.

40. *ἐπικεκλομένα* Turn., unde *ἐπικεκλόμενα* Schütz. Both., quod non intelligo. Voluerunt singularem, quia in antistropha singularis ponitur, sed haec numeri mutatio nihil offensionis habet.

42. *ὑπερπόνον* Med. — *τιμ' ἀόρινιν* Ald. *τιμάορον ἶνιν* Turn.

43. *ἀνθονόμου τᾶς* vulg. *ἀνθονόμους* (ου) *τὰς* Phil. *ἀνθονόμους τὰς* Reg. L. Rob. *ἀνθονόμους ταῖς* Ald. *ἀνθονομαῖς ταῖς* Guelph. *ἀνθονόμου ταῖς* Turn. *ἀνθονομούσας* Glasg. et hoc receperunt Schütz. Both. Burgess.

44. *ἐπιπνοίαις* Guelph. Ald. Turn.

Ζηνὸς ἔφαψιν· ἐπωνυμία δ'
Ἐπεκραίνετο μόρσιμος αἰὼν
Εὐλόγως, Ἔπαφόν τ' ἐγέννασε·
Ὄντ' ἐπιλεξαμένα, ἀντ. ά.
Νῦν ἐν ποιονόμοις
Ματρὸς ἀρχαίας τόποις τῶν
Πρόσθε πόνων μνασαμένα,
Τά τε νῦν ἐπιδείξω
Πιστὰ τεκμήρια, τά τ' ἀνόμοια,
Οἶδ', ἄελπτά περ ὄντα φανεῖται.
Γνώσεται δὲ λόγους τις ἐν μάκει.
Εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων στρ. β'.
Ἔγγαιος, οἶκτον οἰκτρὸν ἀΐων,
Δοξάσει τις ἀκούων ὄπα τᾶς Τηρεΐας

---

45. Post Ζηνός interpungunt Schütz. Both., ut ἔφαψιν ad sequentia pertineat, sed nihil novavi, quia totus hic locus nondum ita legitur, ut de ejus sensu certi quidquam proferri possit. — βοὸς ἐξ ἐπαφῆς τε Ζηνὸς, ἐπωνυμίαν violenta mutatione dedit Burgess.

47. ἐπαφόν τε γέννας ἐόντ' ἐπιλεξαμένα vulg. et sic Reg. L. et Rob., nisi quod δὲ pro τε habent. ἐπαφόν τε γεννέας ὄντ' ἐ. Ald. ἐπαφόν τε γενεᾶς ὄντ' ἐ. Turn. ἔπαφον δ' ἐγέννασ' ὄντ' ἐ. Med. hinc ἔπαφόν τ' ἐγέννασεν. ὄντ' ἐ. Glasg. omnino recte, aperte enim in vulgata quoque haec lectio inest. Schütz. Both. et Burgess. τόνδ' pro ὄντ' dederunt, male.

49. γῦν Rob. — πιονόμοις vulg. sed ποιονόμοις Guelph. Ald. Turn. Glasg. et rell. recte.

50. τῶ ποιστῶν Ald.

51. μιασαμένα Reg. L.

53. ἀνόμια Ald.

54. οἶδ' ἄελπτά περ vulg. Glasg. Schütz. οἵ δ' ἄελπτά περ Ald. ἤδ' ἀελπθ' ἅπερ Rob. e conj., in codice enim vulg. lectionem invenerat. — Non respondent hic et praecedens versus strophicis, quare, ut Pauwii, Heathii, Buttlerique commenta praeteream, Both. dedit: πιστὰ τεκμήρια τῶν ἀνυμνῶν — τά τ', ἄελπτά περ ὄντα, φανεῖται. Burgess.: πιστὰ τεκμήρι', ὁποῖά τ', ἄελπτά περ — ὄντα, φανεῖται· Sed de his versibus eo minus certi quidquam dici potest, quod ne strophicorum quidem lectio certa est.

55. θεοὺς pro λόγους dedit Burgess. inepte.

57. Non respondet antistrophico suo hic versus, sed vitium in illo quaerendum videtur, male igitur fecit Bothe, qui οἰκτρὸν ejecit.

58. ἀκούειν conjecit Heath., quod recipere voluisse Schützium ex ejus nota patet, receperunt Both. et Burgess. sine causa, ἀκούων enim ex praecedentibus repetitum est, ita ut τις, quod etiam nonnulli in τιν' mutare voluerunt, accusativus autem ὄπα non ab ἀκου-

Μήτιδος οἰκτρᾶς ἀλόχου,
Κιρκηλάτου τ' ἀηδόνος·
Ἅτ' ἀπὸ χώρων ποταμῶν τ' εἰργομένα, ἀντ. β'.
Πενθεῖ νέον οἶκτον ἠθέων·
Ξυντίθησι δὲ παιδὸς μόρον, ὡς αὐτοφόνως
Ὤλετο πρὸς χειρὸς ἕθεν
Δυςμάτορος κότου τυχών·
Τὼς καὶ ἐγὼ φιλόδυρτος Ἰαονίοισι νόμοισι στρ. γ'.
Δάπτω τὰν ἁπαλὰν νειλοθερῆ παρειάν,

ων sed a δοξάσει pendet. — Τηρεΐας pro vulg. Τηρείας, quod editores omnes retinuerunt, metri causa scripsi; exempla hujus solutionis habet Elmsl. ad Eur. Med. 806.

59. Τηρείας μήτιδος periphrastice pro Τηρέως positum esse, quod putant Schol. et Schütz., persuadere mihi non possum, nam neque intelligi potest, cur μῆτις potissimum Terei ad hanc periphrasin adhibeatur, et multum incommodi habent genitivi a genitivo praemisso pendentes. Nec tamen Bothii conjecturam ματέρος probo; non dubito, quin Τηρείας ἀλόχου jungendum, pro μήτιδος autem adjectivum aliquod legendum sit.

60. τ' ἀηδονῆς Med. Reg. L. Rob. τᾶ ἡδονῆς Ald. — κιρκηλάτου δ' ἀηδόνος dederunt Schütz. Both., ut otiosum τ' absit, sed illud δ' non minus otiosum est; κιρκηλάτοι' ἀηδόνος eadem de causa Burgess., quae est emendatio Elmsleji ad Eur. Med. 807., bene refutata ab Hermanno in Classical Journ. XLIV, p. 419. Forsitan scribendum κιρκηλάτης ἀηδόνος, cujus loco quum usitatior forma masculina reposita esset, hiatus causa τ' inserendum erat.

61. ἀτοποχώρων Med. Reg. L. ἀτοκοχώρων Phil. ἄτοπο χώρων Ald. ἃ τόπων χώρων Turn. ἃ τἀπὸ χώρων Rob. ἅτ' ἀπὸ χώρων Vict. Glasg. Schütz. — ἐργομένα Reg. L. Rob. Turn. ἐργομία Ald. — Offenderunt Both. et Burgess. in eo, quod omnibus locis fluviisque Philomela exclusa dicatur, quare ille ἅτ', ἐπιχώριον ποταμῶν εἰργομένα, hic ἅτ' ἀπὸ χώρων, ἄμοτον τειρομένα dedit. Sed illud verbis minime inest, et vel sequens ἠθέων de consuetis tantum locis sermonem esse indicat.

62. πένθειν Ald. — οἰκτεῖν Ald. — Versus strophico non respondet, quare Heath. νέον τιν' proposuit, Lachm. de chor. syst. p. 58. νεόκοτον, quod satis probabile est. Both., qui strophicum quoque mutavit, reposuit νέοικον ἠθέων.

64. ἕο ἐν vulg., quod recte in ἕθεν mutarunt Glasg. et rell.

66. τῶ Guelph. τὼ Ald. τῶς Turn. — φιλοδύρτοις vulg. φιλοδέρτοις Rob. φιλόδυρτος auctore Heathio metri causa omnes. — ἰανοίοισι Ald. φιλοδύρτοισι αἰνοῖσι Turn. ἀηδονίοισι in aliquot codd. se reperisse testatur Spanh. ad Aristoph. Ran. 695., idem conjecit Stanl., et ex Incerti emendatione recepit Burgess., neque displicet.

67. παρειὰν pro ἁπαλὰν Rob. — νειλοθαλῆ ex cod. affert Spanhem., receperunt Schütz. et

Ἀπειρόδακρύν τε καρδίαν.
Γόεδνα δ᾽ ἀνθεμίζομαι
Δειμαίνουσα φίλους τᾶσδε φυγᾶς
Ἀερίας ἀπὸ γᾶς,
Εἴτις ἐστὶ κηδεμών.
Ἀλλὰ θεοὶ γενέται, κλύετ᾽ εὖ τὸ δίκαιον ἰδόντες, ἀντ. γ΄.
Ἢ καὶ μὴ τέλεον δόντες ἔχειν παρ᾽ αἶσαν,
Ὕβριν δ᾽ ἑτοίμως στυγοῦντες
Πέλοιτ᾽ ἂν ἔνδικοι γάμοις.
Ἔστι δὲ κὰκ πτολέμου τειρομένοις
Βωμὸς Ἄρης φυγάσιν
Ῥῦμα, δαιμόνων σέβας.
Εἰ θείη Διὸς εὖ παναληθῶς. στρ. δ΄.

Both., *νειλοτραφῆ* ex Blomfieldii emendatione Burgess., sed non video causam ab omnium librorum lectione recedendi. — *πορειὰν* Guelph. Ald.

68. Non respondere visus est hic versus antistrophico, quare Both. eos sic exhibet:

κραδίαν τ᾽ ἀπειρόδακρυν.
ἐτύμως δ᾽ ὕβριν στυγοῦντες.

Sed nihil mutandum est, modo *καρδίαν* bisyllabe legas.

70. *δεὶ μαίνουσα* Ald.

71. *θερίας* dedit Schütz. antistrophico mutato, pessime.

73. *θεοὶ οἱ γενέται* vulg. sed *οἱ* metri causa inde a Pauwio omiserunt omnes, recte.

74. *ἢ* omittit Guelph. *ἢ βαὶ* Reg. L. — Sensus hujus loci est: *aut si vel non perfectum, id quod concupiscimus, nobis datis, insolentiam autem illorum parato auxilio aversamini, justi eritis circa nuptias*, quem sensum non capientes Schütz. *ἥβαν μὴ τέλεον*, Both. *ἀκάν μοι τέλεον δόντες ἔχειν παρ᾽ ἀστῶν*, Burgess. *μὴ κλίνην τελέαν* dederunt.

75. Vulg. *δ᾽ ἑτοίμως*, nescio utrum metri an sensus causa, editores omnes respuerunt. *δ᾽ ἐτύμως*, quod habet Guelph., ex Arnaldi conjectura receperunt Glasg. Both. Burgess., *δὲ θυμῷ* ex Jacobsii emendatione Schütz., sed vulg. metro non officit, et sensus supra explicatus est. — *στύγοντες* Med. Guelph. Ald. Rob.

76. *πεδῷτ᾽ ἂν ἔκδικον γάμων* Both. *ἐμπελᾶτ᾽ ἔτ᾽ ἐκδίκοις γάμοις* Burgess. sine causa.

77. *κακοπτολέμου* Guelph. Ald. Turn.

78. *ἀρῆς* Turn. — *φυγᾶσιν* Ald. *φυγάσιν* Med. Schütz. *φυγάσι* vulg. — Vulgata, quam exhibui, sensu caret; quare Schütz., strophico mutato, Ἄρης ejecit, sed melius placet Heathii emendatio *Ἀρηφυγάσι*, quam receperunt Both. et Burgess.

80. *εἰθείη* Ald. Rob. — Vulgatum retinet Glasg., commate post *σέβας* posito, cujus lectionis sensum non assequor. *εἰ θείη θεὸς* in priore editione emendaverat Schütz., quod recepit Burgess., item post *σέβας* commate interpungens, sed id

Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη,
Πάντα τοι φλεγέθει κἀν
Σκότῳ, μελαίνᾳ ξὺν τύχᾳ
Μερόπεσσι λαοῖς.
Πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ, ἀντ. δ'.
Κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
Δαυλοὶ γὰρ πραπίδων δά-
σκιοί τε τείνουσιν πόροι,
Κατιδεῖν ἄφραστοι.
Ἰάπτει δ' ἐλπίδων ἀφ' ὑψιπύργων στρ. έ.
Πανώλεις βροτούς,
Βίαν δ' οὔτιν' ἐξοπλίζει,

---

admodum displicet. In postrema editione Schütz. dedit: *εὐθύνη Διὸς εὖ παναληθής*. Both. *ᾐθείη, θεὸς οὐ παναληθής.*, uterque nimis audacter. Facillimum esset: *εἴθ' εἴη Διὸς εὖ παναληθῶς*, ex praecedentibus *σέβας* subintellecto, sed ita versus cum sequentibus minus cohaeret; quare verum puto: *εἰ θείη θεὸς εὖ παναληθῶς*, *utinam Deus revera res nostras bene constituat*, *θεός* enim ex versu sequente facile corrumpi poterat.

82. *πάντα* Ald. Turn. *πάντη* Rob.

83. *μέλαιναι ξυντυχίαι* Turn. Vict. *μέλαιναι ξυντύχαι* Guelph. *μέλαιναι ξὺν τυχαι* Ald. *μέλαιναι ξυντύχᾳ* Med. *μέλαινα ξυντύχα* Phil. Rob. hinc *μελαίνᾳ ξὺν τύχᾳ* recte Glasg. Schütz., qui et sensum bene explicavit.

85. *ἀσφαλῶς* Turn. Vict. *ἀσφαλὲς* Med. Reg. L. Ald. Rob. et sic, exigente metro, editores omnes.

88. *τείνουσιν* Glasg. Schütz. Burgess. pro vulg. *τείνουσι*.

89. *κατειδεῖν* Phil. *κάτει δεῖν* Rob.

90. *δὲ ἀπιδὼν* vulg. *δὲ ἐπιδὼν* Reg. L., quae neque sensui neque metro satisfaciunt; quare Both. *δαπέδων* dedit; Burgess. *δ' ἐδέων*. Minus violenta est emendatio Hermanni *δ' ἀπίδων*, quam recepit Schütz. Sed primum ex incertissimis est vocabulum ab eo repositum, deinde mirum est, in nullo libro *δ'*, in omnibus *δὲ* legi, quamquam sequitur vocalis. Quare unicam loci desperati medicinam reperisse mihi videor, pro *ΔΕΑΠΙΔΩΝ* reponendo *Δ' ΕΛΠΙΔΩΝ*, quae mutatio mihi tam certa videtur, ut eam in textum recipere non dubitaverim; *ἐλπίδες* enim quam pulchre, quam vere Aeschyleo spiritu *ὑψίπυργοι* dicantur, quam apte Jupiter superba spe dejicere mortales dicatur, nemo non videt; versus autem antispasto constat cum hephthemimeri iambica.

92. 93. Vulgata, quam in textu exhibui, leviter corrupta est, quod et metrum antistrophicorum docet, et vocabulum *ἄποινος*, alibi non obvium. Sensus, quem sententiarum nexus po-

Τὰν ἄποινον δαιμονίων·
Ἥμενον ἄνω φρόνημά πως
Αὐτόθεν ἐξέπραξεν ἔμπας,
Ἑδράνων ἐφ' ἁγνῶν.
Ἰδέσθω δ' ἐς ὕβριν βρότειον, οἷα — ἀντ. ε.
Νεάζει πυθμὴν
Δι' ἁμὸν γάμον τὰ θάλλος
Δυςπαραβούλοισι φρεσὶν,
Καὶ διάνοιαν μαινόλιν
Κέντρον ἔχων ἄφυκτον, ἄταν δ'
Ἀπάτᾳ μεταγνούς.

---

scere videtur, hic est: *Jupiter mortales superba spe dejicit, nulla vi, quae ipsi molestiam creet, sed sola voluntate.* Quare admodum displicet satis audax Schützii mutatio *βίαν δ' οὔτις ἐξώπλιζε πανάποινον δαιμονίων*, quam recepit etiam Both. retento *ἐξοπλίζει*. Burgess. reliquis non mutatis *οὔτις* dedit. Sed haec omnia ne metro quidem satisfaciunt. Mihi legendum videtur: *βίαν δ' οὔτιν' ἐξοπλίζει τὰν ἄπονον δαιμονίων*, vel quod melius placet: *βίαν δ' οὔτιν' ἐξοπλίζει. πᾶν ἄπονον δαιμονίων. vim vero nullam exarmat, omnes Deorum res molestia vacant.* — Ceterum *οὔτις* in codd. se reperisse testatur Spanh., qui etiam conjecturae *πανάποινον* auctor est.

94. Versus antistrophico non respondet, quare Both. *αἰνοφρόνημα*, Burgess. *ὧν φρόνημα* dedit, sed in sensu nihil desideratur, quare vitium in antistrophico quaerendum puto.

96. *ἀφ' ἁγνῶν* in uno cod. reperit Spanh., quod recepit Both.

97. *βρότειος* ex conj. dedit Schütz., sine causa. — *οἷα* metro adversari visum est, quia vulg. versus ita distribuuntur, ut *βρότειον οἷα νεάζει* secundus antistrophae versus sit, quare Schütz. Both. Burgess. dederunt *οἵᾳ*, cujus loco multo melius et facilius reponi poterat *οἵαν*. Sed nihil mutandum est; syllaba anceps docet, post *οἷα* versus finem esse.

99. *δ' ἀμὸν* Turn. — *γάμοντα θάλος* Ald. *τὸ θάλος* vulg. *τὸ θάλλος* metri causa dedit Glasg., sed sensus neque sic sanus est; *τοι θάλπος* Schütz. *τεθαλὼς* Both., quem sequitur Burgess., neque displicet.

100. *δυςπαραβούλοισιν* Rob. — *φρεσὶ* vulg. *φρεσὶν* Rob. Glasg. Both. Burgess.

101. *μενόλιν* Guelph. Ald. Rob. — Ut strophico respondeat, *γε* ante *μαινόλιν* auctore Heathio inseruerunt Schütz. et Both., quod prorsus abundat. Ex corrupta lectione *μενόλιν* certum videtur legendum esse *μὲν μαινόλιν*, cui favet sequens *δέ*. Lachm. de chor. syst. p. 58. *καὶ διάνοιαν αἰνολὶν*, in strophico *ἣν μεμόνῃ φρόνημά πως* legendum putat.

102. *ἄτᾳ* Vict. *ἄταν* Ald. Rob. Turn.

103. *ἐπ' ἄτᾳ* in codd. duobus reperit Spanh. Ceterum vulgatam bene explicavit Schütz., ut

Τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω στρ. ϛ'.
Λιγέα βαρέα δακρυοπετῆ.
Ἰὴ, ἰή.
Ἰηλέμοισιν ἐμπρεπῆ
[Θρεομένη μέλη,]
Ζῶσα γόοις με τιμᾷ.
Ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,
Καρβάνα δ' αὐδὰν
Εὐακοεῖς.
Πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι,
Λίνοισιν, ἢ
Σιδονίᾳ καλύπτρᾳ.
Θεοῖς δ' ἐναγέα τέλεα, πελομένων καλῶς, ἀντ. ϛ'.
Ἐπιδρομῶσ' ὅθι θάνατος ἀπῇ.

---

supersedere possimus Bothii et Burgessii emendationibus, quorum ille *ἄταν ἀπάτας μεταγνοὺς*, hic *ἄτας ἕπεται μ' ἀνάγνως*.

104. *θρεβομία λεγῶν* Ald. *θρεομένα λέγων* Rob. Vict. *θρευομένα γεγώνει* Turn. *θρεομένα λέγω* Stanl. Glasg. Schütz. Burgess., quod, nescio unde haustum, verum non puto, sed interim retinui. *θρεομένα λεχῶν* Both.

107. *ἐμπρέπη* Ald. *ἐμπρέποι* Rob. *ἐμπρεπῆ* Guelph. Turn. Vict. Glasg. Burgess. *ἀμπρεπῆ* Stanl. Schütz. Both., nescio qua auctoritate.

108. *θρευομένη* Ald. Turn. Totum versum uncinis inclusit Glasg., ejecerunt Schütz. Both. Burgess. recte.

109. *με τιμᾷ* vulg. *με τιμῶν* Rob. *μεθ' ἡμῶν* Turn. *μετιμῶ* Ald. *με τιμῶ* Guelph. Reg. L., et sic Glasg. Schütz., quod recepi, quamquam lectio valde incerta est. *μέτειμι* conj. Canter. *ζώσατο οἷς με τιμᾷ* var. lect. ap. Schol. *ζῶσι γόοι μεθ' ἡμῶν* Both. *ζῶσα γόους γεγωνῶ* Burgess.

110. *ἱλέωμαι* Ald. Rob. *ἱλάομαι* Burgess., mox idem *βουνὸν*.

111. *καρβάνα δ' αὐδὰν* vulg. sed *κάρβανον* dedit Schütz., ut haec inter se consentiant. Sed quum Rob. hic et infra *αὐδὰ* habeat, verum puto *καρβάνα δ' αὐδά*, *imploro quidem Apiam, sed barbara vox est*, deinde se ipsam consolatur *εὖα, κοννεῖς*, *eia, cognoscis eam.*

112. *εὐακοεῖς* vulg. *εὐακοννεῖς* Med. Reg. L. Guelph. Ald., quod verum mihi videri ad versum praecedentem monui. *εὖα, κονοῖς* Schütz. *καρβάναυδον εὐακοεῖν* Both. *κάρβανον αὐδὰν εἶ γε κοννεῖς* Burg.

113. *ἐνπιτνῶ* Guelph. Ald. Rob.

115. *σιδωνίᾳ* Ald. Turn. — *καλύστρᾳ* Guelph. Ald.

116. 117. Vulgata horum versuum lectio, quam cum Glasg. repraesentavi, omni sensu caret, in altero versu metrum quoque laborat, neque variae lectio-

Ἰὼ, ἰὼ,
Ἰὼ, δυςάγκριτοι πόνοι.
Ποῖ τόδε κῦμ᾽ ἀπάξει;
Ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,
Καρβᾶνα δ᾽ αὐδὰν
Εὐακοεῖς.
Πολλάκι δ᾽ ἐμπιτνῶ ξὺν λακίδι,
Λίνοισιν, ἢ
Σιδονίᾳ καλύπτρᾳ.
Πλάτα μὲν οὖν λινοῤῥαφής τε στρ. ζ'.
Δόμος ἅλα στέγων, δορὸς
Ἀχείματόν μ᾽ ἔπεμπε σὺν πνοαῖς·
Οὐδὲ μέμφομαι· τελευτὰς δ᾽
Ἐν χρόνῳ πατὴρ ὁ παντόπτας
Πρευμενεῖς κτίσειεν.

---

nes quidquam juvant. *πελομιῶν* Ald. *πολεμίων* Turn. — *ἐπιδρόμῳ πόθι* Phil. Ald. Turn. — *ὄπῃ* Ald. Turn. Reliquis non mutatis Schütz. *ἐπιδρομοῦσ᾽* dedit, quod neque metrum neque sententiam adjuvat. Both.: *Θεοῖς δ᾽ εἶεν ἅγια τέλεα, πελομένων καλῶς, Ἐπιδρόμοις ἣν θάνατος ἀπῇ.* Burgess.: *Θεοῖς δ᾽ ἐναγέα τέλε᾽ ἀτέλεά μοι· καλῶ σ᾽ Ἐπίδρομος ἴθι θάνατος, ἰή.* Lachm. p. 58. *Θεοῖς δ᾽ ἐναγέα τέλεα πελόμεν᾽ οὐ καλῶς Ἐπιδρομὰς ὅθι θάνατος ἀπῇ.* Sed codicum auxilium hic locus exspectat.

120. *κῦμα πατάξι* Rob.

121. Versus repetitos 120—126. omisit Burgess., quia hujusmodi repetitiones scena Attica respuat; eorum loco posuit v. 152—157., quos ingenio, ut ipse dicit, sagaci ita emendavit, ut responsio antistrophica luculenter se proderet. Sed haec silentio praeterire licet. — *ἱλέωμαι* Ald. Rob.

122. *καρβάνα δ᾽ αὐδὰ* Rob.

123. *εὐγακόννις* Med. Reg. L. *ἐνγακόννις* Guelph. *ἐνγαγρόνεις* Ald.

125. *αἴνοισιν* Phil. Guelph. Ald.

126. *σιδωνίᾳ* Turn.

127. *λινοῤῥαφίς* Ald. Turn.

129. *ἀχήματον* Med. *ἀχίματον* Guelph. Ald. Rob. — *ἔπεμψε* Schütz. Both., nescio qua auctoritate. — *σὺν πνοιαῖς* vulg. *συμπνοιαῖς* Rob. *ἂν πνοιαῖς* Guelph. Ald. Turn. *σὺν πνοαῖς* metri causa Glasg. et rell., probante etiam Elmsl. ad Eur. Heraclid. 431.

130. *τελευτᾶς δ᾽ ἐν χρόνῳ* vulg. Glasg. *τελευτᾶς. ἐν δὲ χρόνῳ* Ald. Turn. Schütz. Both. Sed utrique lectioni illud obstat, quod *κτίσειεν* cum sequente infinitivo jungi nequit, quare *τελευτὰς* dedi, maxime propter sequens *πρευμενεῖς*.

132. *πρευμενεῖς κτίσειεν* Med. Ald. Rob., quod recipere non dubitavi; editores omnes, cum Turn. et Vict. habent *πρευμενὴς κτίσεις*.

Σπέρμα σεμνᾶς μέγα ματρὸς,
Εὐνὰς ἀνδρῶν, ἒ, ἒ,
Ἄγαμον ἀδάματον ἐκφυγεῖν.
Θέλουσα δ' αὖ θέλουσαν ἁγνά μ' ἀντ. ζ'.
Ἐπιδέτω Διὸς κόρα,
Ἔχουσα σέμν' ἐνώπι' ἀσφαλές·
Παντὶ δὲ σθένουσι, διωγμοῖσι δ'
Ἀσφαλίας ἀδμήτας ἀδμήτα
Ῥύσιος γενέσθω.
Σπέρμα σεμνᾶς μέγα ματρος,
Εὐνὰς ἀνδρῶν, ἒ, ἒ,
Ἄγαμον ἀδάματον ἐκφυγεῖν.
Εἰ δὲ μὴ, μελανθὲς στρ. η'.
Ἡλιόκτυπον γένος,

---

133. *μεγαλοματρὸς* Schütz. et Both. sine causa.

135. *ἀδάματον* pro vulg. *ἀδάμαντον* cum Bothio metri causa restitui, quorum vocabulorum perpetua est confusio. — Hos tres versus Burgess. iterum hic et in antistropha omisit, eosque in fine carminis tanquam epodum collocavit.

136. *θέλουσαν δ' οὖν θέλουσαν* Ald. Turn. — *ἀγμὰ* Ald. *ἁγνὰν* Turn.

138. *ἔχουσα σεμ' ἐ πώπι'* Ald. *ἔχουσα μ' ἐπ' ὦπὶ* Turn.

139. 40. Hi versus insigniter corrupti sunt; in vulgata, quam in textu exhibui, neque sensus neque metrum salvum est, nec quidquam conjectura assequi licet. *σθένουσα* Turn. — *διωγμοῖσιν* omisso *δ'* Rob. — *ἀσφαλέας* Med. Guelph. Ald. *ἀσφαλὲς* Rob. — *ἀδμῆτος* Reg. L. — Schütz. et Both. ex Canteri et Heathii emendationibus dederunt: *Παντὶ δὲ σθένει διωγμοῖς Ἀσφαλίσασ' ἀδμήτας ἀδμήτα*, Burgess.: *πάντα δ' ἀσθενεῖς, διωγμ' εἴα' | ἀφιλίας· σὺ δ' ἀδμ-| ῆς ἀδμῆτος*, Lachm. de chor. syst. p. 59. *πάντα δὲ σθένουσ' ἰυγμοῖς ἀσφαλὴς ἀδμῆτος ἀδμήτα*. Denique *ἄδματος ἀδμάτου* reponendum putat Lobeck. ad Aj. p. 242.

145. *εἰ δὴ μὴ* Ald. Rob.

146. Hic quoque locus ex vexatissimis est, vulgata enim, *εἰ δὲ μὴ, μελανθὲς ἢ διόκτυπον γένος τοὔγγαιον* sensu caret. Quare varia tentarunt editores. Schütz. totum locum sanasse sibi videbatur, *ἢ* cum Heathio in *ἢ* mutato, quo facto sensum hunc satis ineptum extricavit: *Si minus, in Tartarum, ubi Titanum genus terrestre fulmine Jovis percussum adeoque nigratum nunc habitat, ad Jovem mortuorum ibimus.* Sed, reliquis omissis, *τοὔγγαιον* ne metro quidem satisfacit, quare qui eum secutus est Both. antistrophicum quoque versum mutavit; idem praeterea *ᾷ* dedit; Burgess. denique qua solet sagacitate hanc lectionem eruit: *εἰ δὲ μὴ μέλαν θήσει διόκτυπον γένος τόν τ' ἄγον.* Sed certam

Τὸν γάϊον,
Τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
Ἱξόμεσθα σὺν κλάδοις
Ἀρτάναις θανοῦσαι,
Μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.
Ὦ Ζεῦ, Ἰοῦς ἰὼ
Μῆνις μάστειρ᾽ ἐκ θεῶν.
Κοννῶ δ᾽ ἄταν
Γαμετᾶς οὐρανόνικον.
Χαλεποῦ γὰρ ἐκ
Πνεύματος εἶσι χειμών.
Καὶ τότ᾽ οὐ δικαίοις — ἀντ. η.
Ζεὺς ἐνέξεται λόγοις,
Τὸν τᾶς βοὰς

---

emendandi viam librorum lectiones monstrant, *ἡδιόκτυπον* enim habent Ald. et Turn., *τοὔγγαιον* autem in solis Turn. et Vict. comparet, Med. Guelph. Ald, habent *τόνταιον*, Reg. L. *τὸν ταίον*, idemque in cod. suo reperit Rob., qui ex conjectura *τὸν τάγον* dedit. Jam *ΗΔΙΟΚΤΥΠΟΝ* nihil aliud est quam *ΗΛΙΟΚΤΥΠΟΝ* et *ΤΟΝΤΑΙΟΝ* corruptum est ex *ΤΟΝ ΓΑΙΟΝ*, quare totum locum sic lego, ut eum in textu exhibui: *Sin minus, fusca, solis radiis icta gens, ad Jovem inferorum ibimus.* *τὸν γάϊον* simul unice antistrophico *τὸν τᾶς βοὸς* respondet. Utraque emendatio mihi tam certa videtur, ut eam in textum recipere non dubitaverim.

153. 154. *ἀζηνιουσίω* Med. *ἀζηνὶ οὐσίω* Guelph. Ald. idemque in codice suo legit Rob., qui ex conjectura dedit eam lectionem, quae nunc vulgatur. *ἀζηνιοουσίω* Reg. L. *ὦ Ζεῦ ἰοῦσα* Turn. *ὦ Ζεῦ, Ἰοῦς ἰὼ* Vict. Glasg. et Schütz., qui in versu sequente *ἐκθέει* legendum putat. Both. edidit: *ὦ Ζὴν, ἴασαι μῆνιν μαστεῖρας θεῶν!* Burgess.: *ἐζημίωσ᾽ Ἰοῖ με μῆνις μνάστειρ᾽ ἐκ θεῶν.* Ad litterarum tractus proxime accederet: *ἅ ζημιοῦσ᾽ Ἰὼ μῆνις μάστειρ᾽ ἐκ θεῶν, ira, quae Ionem vexat, investigatrix est*, i. e. *nos quoque persequitur*, quamquam *μνάστειρ* non displicere fateor.

155. *κοννωδάταν* Phil. Ald. Rob.

156. *γαμετουρανόνεικον* Phil. Reg. L. Guelph. Rob. *γαμετ᾽ οὐρανονείκου* Ald. *γαμετᾶς οὐρανονείκου* Turn. *γαμετᾶς οὐρανόνικον* Vict. Glasg. Schütz. Both. recte, ut videtur.

159. *τὸ τοῦ* Ald.

160. *ἐντεύξεται* Vict. *ἐνεύξεται* Phil. *ἐν εὔξεται* Ald. *ἀνεύξεται* Rob. *ἀνέξεται* Turn. *ἐνέξεται* Glasg. Schütz. Both. Burgess. forsitan recte.

161. *βοὰς* in cod. reperit Rob.

Παῖδ' ἀτιμάσας, τὸν αὐ-
τός ποτ' ἔκτισεν γόνῳ,
Νῦν ἔχων παλίντροπον
Ὄψιν ἐν λιταῖσιν·
Ὑψόθεν δ' εὖ κλύοι καλούμενος.
Ὦ Ζεῦ, Ἰοῦς ἰὼ
Μῆνις μάστειρ' ἐκ θεῶν.
Κοννῶ δ' ἄταν
Γαμετᾶς οὐρανόνικον.
Χαλεποῦ γὰρ ἐκ
Πνεύματος εἶσι χειμών.

ΔΑΝΑΟΣ.

Παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἥκετε
Πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
Καὶ τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν
Αἰνῶ, φυλάξαι, τἄμ' ἔπη δελτουμένας.
Ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ,
Σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
Ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον
Λεύσσω, ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασι.
Τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται,
Ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
Ἀλλ' εἴτ' ἀπήμων, εἴτε καὶ τεθυμένος

---

162. ἀτιμάσθαι Guelph.
166. κλύει Ald. Turn. — οὐ κλύων καλούμενος Schütz. Both. male.
167 — 172. Hi versus vulgo absunt, sed strophae clausulam hic, ut in duabus antistrophis praecedentibus, repetendam esse, recte vidit Canterus, idque fecerunt Schütz. et Both.
173. ἥκετε Glasg. quod non necessarium est.
174. γάροντι Ald.
175. προμηθίαν Guelph. Ald.
176. Commate post αἰνῶ posito, quod vulg. fit, desideratur copula, recte igitur post φυλάξαι interpungendum esse vidit Both., id quod suadet etiam δελτουμένας. — τἄμ' ἐπιδελτουμένας in cod. reperit Rob.
177. κόνιν γ' Heath. γε κόνιν Both., ignorans uterque, κόνιν secundam producere.
178. ἀξονείλατοι Ald.
180. λεύσω Med. Rob. — ὀχήμασιν Rob.
182. πεπεισμένοι Ald.
183. τεθυμένος vulg. Schütz. sine sensu. τεθειμένος Med. Guelph. Ald. Rob. τεθυμμένος Glasg., quod hoc sensu occur-

Ὠμῇ ξὺν ὀργῇ, τόνδ᾽ ἐπόρνυται στόλον,
Ἄμεινόν ἐστι παντὸς εἵνεκ᾽, ὦ κόραι,
Πάγον προσίζειν τῶνδ᾽ ἀγωνίων θεῶν.
Κρεῖσσον δὲ πύργου βωμὸς, ἄῤῥηκτον σάκος.
Ἀλλ᾽ ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
Ἱκετηρίας, ἀγάλματ᾽ αἰδοίου Διὸς,
Σεμνῶς ἔχουσαι διὰ χερῶν συνωνύμων,
Αἰδοῖα καὶ γόεδνα καὶ τὰ χρεῖ᾽ ἔπη
Ξένους ἀμείβεσθ᾽, ὡς ἐπήλυδας πρέπει,
Τορῶς λέγουσαι τάσδ᾽ ἀναιμάκτους φυγάς.
Φθογγῇ δ᾽ ἑπέσθω, πρῶτα μὲν τὸ μὴ θρασὺ,
Τὸ μὴ μάταιον δ᾽ ἐκ μετωποσωφρόνων
Ἴτω προσώπων ὄμματος παρ᾽ ἡσύχου,

---

rere valde dubito, *τεθηγμένος* ex Pearsoni emendatione Both. Burgess. Meliorem correctionem exspecto.

184. *ὦ μὴ* Ald. — *τόνδε* Rob.

185. *οὕνεκ᾽* post Heathium edd. omnes, sed vid. ad Prom. 345.

186. *πάγον* vulg. *πάγου* Rob. Vict. *πάγῳ* ex emendatione Spanhemii Schütz. male. Soph. Oed. Col. 1162. *τήνδ᾽ ὁ προσθακῶν ἕδραν*. Aesch. Agam. 843. *ἰὸς καρδίαν προσήμενος*. Eur. Orest. 844. *ὁ Πύθιος τρίποδα καθίζων Φοῖβος*. cf. Lobeck. ad Soph. Aj. p. 249. — *τόνδ᾽* Turn. quod recepit Burgess., sed altera lectio exquisitior videtur.

187. *κρείσσων* Med. a prima manu, sed abraso *ω* rescriptum est *ο*, idem e cod. Reg. affert Spanhem., et receperunt Schütz. et Burgess. sine causa. Neutrum adjectivorum ita adhibitum notissimum est; vid., si tanti est, Fischer. ad Well. III, 1, p. 310. Schaef. ad Bos. Ellips. p. 535.

189. *ἱκτηρίας* Vict. Schütz. sed *ἱκετηρίας* Med. Ald. Rob. Turn. quod recte retinuerunt Glasg. Both. Burgess.

190. *σεμ᾽ ὥς* Ald. — *εὐωνύμων* ex Schol. verbis conjecit Pears., quod placet Schützio, et receptum est a Bothio atque Burgessio, neque repudiarem, si in codice aliquo legeretur. *ξυνωνύμων* Glasg.

191. *γοείδεα* Med. *γοείδηα* Ald. — *καὶ τὰ χρέα* Med. Guelph. Ald. *καὶ τὰ χρέ᾽* Rob. *καὶ τὰ χρεῖ᾽* Turn. Vict. Glasg. *κοὐκ ἀχρεῖ᾽* ex conjectura Schütz. et Both. Vulgata neque mihi placet, sed aliud quid mihi latere videtur, quod aliorum forsitan deteget sagacitas.

192. *ἀμείβεθ᾽* Reg. L.

194. *φθογγὴ* vulg. *φθαγγὴ* Ald. *φθογγῇ* Glasg. Both. Burgess. recte, minus bene *φθογγῆς* Schütz. Nec propterea opus est cum Bothio *ἑπέστω* corrigere, *ἑπέσθω* enim non est *sequatur*, sed *comitetur*, qua significatione alias *ἕπεσθαι μετά τινος* dicitur, v. Heind. ad Plat. Phaedr. 64. — *μὴ θραὰ* Ald. *μη 'θρόα* Turn.

195. 196. *ἐκ μετώπων σωφρό-*

Καὶ μὴ πρόλεσχος, μηδ' ἐφολκὸς ἐν λόγῳ
Γένῃ· τὸ τῇδε κάρτ' ἐπίφθονον γένος.
Μέμνησο δ' εἴκειν· χρεῖος εἶ ξένη φυγάς.
Θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.

ΧΟΡΟΣ.

Πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις.
Φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν
Κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι.

ΔΑΝΑΟΣ.

Μὴ νῦν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος.

γων ἴτω πρόσωπον vulg. Glasg. Schütz. Both, sed τὸ μὴ μάταιόν aptius est sine substantivo poni, ut antea τὸ μὴ θρασύ. Praeterea μετώπω σωφρονῶν habet Med. μετόπω σωφρονῶν Guelph, Ald. et mox προσώπων Ald. Rob. Hinc eleganter Pors. praef. ad Hecub. p. XXXIX. ed. Lips. emendavit ἐκ μετωποσωφρόνων ἴτω προσώπων, quam emendationem cum Burgessio recipere non dubitavi. cf. Meinek. Quaestion. Menandr. p. 8. Adnumerandum hoc videtur ῥήμασι βοείοις Aeschyli, qualia multa adhuc latere puto.

197. ἀφελκὸς Rob.

199. χρεῖος εἶξεν ἡ φυγὰς Ald. idemque in cod. reperit Rob., qui ex conjectura dedit vulgatam, quam habent deinde Turn. Vict. et edd. omnes praeter Burgess., qui dedit εἴκειν χρή σ', ὅσ' εἶξεν εὖ φυγάς.

201. πρὸς φρονοῦντας Med. Reg. L. Ald. Rob. προσφρονοῦντας Guelph. πρὸς φρονούσας Turn. Vict. Glasg. Schütz. Both., sed haec lectio aperte ex correctione prodiit eorum, qui usum tragicorum ignorantes in genere masculino offenderunt. Hoc tamen de feminis non raro adhibent tragici, cf. Comment. Aeschyl. p. 62., quare librorum lectionem revocavi, consentiente Elmslejo in Edinburgh Review 1811. N. XXXVII. p. 75.

202. φυλάξομεν Turn. Vict. Glasg. Schütz. Both. φυλάξομαι Reg. L. Guelph. Ald. Rob., quod revocandum est propter infinitivum μεμνῆσθαι, quem Schütz. et Bothe ex Stanleji vel Aurati emendatione male in μνησθεῖσαι mutaverunt; φυλάξομαι μεμνῆσθαι est *cavebo, ut memor sim*, φυλάξομεν autem ex correctione natum est propter singularem, qui tamen statim v. 204. 205. recurrit.

204. Versus, qui sequuntur usque ad v. 218., mirum in modum turbavit Burgess. transponendo et emendando, quas mutationes omnes afferre longum foret. Sed ordo, quo vulgo leguntur, mihi quoque turbatus videtur, praecipue propter v. 207. 8. qui Choro tribuuntur, quum singulos tantum versus quaeque persona habere debeat. Praeterea inde a v. 213. tribus Chori versibus sex subjiciuntur, quorum singuli inter Chorum et Danaum distribuuntur, idemque etiam post v. 203. fieri debet, quia summam aequabilitatem in his rebus accuratissime servare solet Aeschylus. Po-

ΧΟΡΟΣ.

Θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν.

ΔΑΝΑΟΣ.

Ὦ Ζεῦ, κόπων οἴκτειρε μὴ 'πολωλότας.

ΧΟΡΟΣ.

Ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος.
Κείνου θέλοντος εὖ τελευτήσει τάδε.

ΔΑΝΑΟΣ.

Καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.

ΧΟΡΟΣ.

Καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους,
Ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
Εἰδὼς ἂν αἶσαν τήνδε συγγνῴη βροτοῖς.

ΔΑΝΑΟΣ.

Συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.

ΧΟΡΟΣ.

Τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;

---

stremo admodum variant hoc loco editiones antiquae in personarum nominibus praefigendis, et v. 208. quidem Πρεσβεῖ tribuit Rob., quem plerumque Danai loco habet. Id quidem certum videtur, post vocabula Ζεὺς δὲ γεννήτωρ ἴδοι collocandum esse versum 207. ἴδοιτο δῆτα κ. τ. λ. quemadmodum v. 213. post verba εἰδὼς ἂν αἶσαν τήνδε συγγνῴη βροτοῖς Danaus dicit συγγνοῖτο δῆτα. Sed digitum huc intendisse sufficit. — μὴ κάμῃς δ' ἐς τὸ κράτος Heath. μηχαναῖς δ' ἔστω κράτος Both. μηχανῆς δ' ἔστω τάχος Blomf. ad Prom. 397. Sed nihil mutandum esse vidit Schütz., quamquam versum obscurum esse non diffiteor, quo probatur id quod supra dixi de versuum loco mutando.

206. ἰὼ Ζεῦ Reg. L. Ald. Rob. — μὴ ἀπολωλότας Guelph. Ald. Rob. Turn. Vict.

207. δῆ ταπρευμενοῖς Ald.

209. κικλήσκεται Guelph. Ald. et in cod. reperit Rob., qui κικλήσκετε ex conjectura dedit; sic deinde Turn. Vict. et edd. omnes.

210. Hos versus Danao tribuit Rob.

212. εἰδὼς Med. Rob. et cod. reg. Spanh. αἰδὼς Reg. L. Guelph. εἰδὼν Ald. ἰδὼν Turn. Vict. Glasg. sed εἰδὼς propter majorem auctoritatem non minus quam sensus causa cum Schütz. Both. Burg. praetuli. — εὐγνῴη Med. Reg. L. Guelph. Ald. — De forma συγγνῴη v. Herm. de Ellips. et Pleonasm. in Mus. antiq. stud. I. p. 231., qui eam tuetur, usitatam autem formam reponi vult Lobeck. ad Phryn. p. 347., non dissentiente Buttmanno.

213. ξυγγνοῖτο Glasg. Both.

214. κικλίσκω Ald.

ΔΑΝΑΟΣ.

Ὁρῶ τρίαιναν τήνδε, σημεῖον θεοῦ.

ΧΟΡΟΣ.

Ἀλλ' εὖ τ' ἔπεμψεν, εὖ τε δεξάσθω χθονί.

ΔΑΝΑΟΣ.

Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.

ΧΟΡΟΣ.

Ἐλευθέροις νῦν ἐσθλὰ κηρυκευέτω.

ΔΑΝΑΟΣ.

Πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
Σέβεσθ', ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων
Ἵζεσθε, κίρκων τῶν ὁμοπτέρων φόβῳ,
Ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
Ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
Πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα,
Ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ 'ν Αἵδου θανὼν
Φύγῃ μάταιον αἰτίας, πράξας τάδε.
Κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος,

---

218. *ἐλευθέριος οὖν* Schütz. Both. *ἀλλοθρόοις* Burgess. sine causa; sensus est *ἐσθλὰ κηρυκευέτω, ὥστε ἐλευθέρους ἡμᾶς γίγνεσθαι*, ut Soph. Trach. 106. *οὐ ποτ' εὐνάζειν ἀδακρύτων βλεφάρων πόθον*, i. e. *ὥστε γίγνεσθαι αὐτὰ ἀδάκρυτα.* cf. Seidl. ad Eur. El. 442. et Herm. ad Vig. p. 897.

219. *πὰν τῶν* Ald.

220. *δεσμὸς* vulg. *δ' ἑσμὸς* ex conj. Stanleji recte receperunt Glasg. Both. Burgess. *σέβεσθε. χ' ἁγνὸς ἐσμὸς* ex Aurati cod. recepit Schütz. inepte.

221. *ἵζεσθαι κρέκω* Med. Guelph. Ald. *ἵζεσθαι κεκρέκω* Reg. L.

222. *ὅμαιμον καταμιαινόντων* Both. male. Totum versum hic omissum ante v. 229. inseruit Burgess.

223. *ἂν αἰνεύοι* Med. *ἀναινεύοι* Guelph. Ald. *ἀνανεύοι* Rob.

224. *γάμων* Ald.

225. *μὴν* Guelph. Ald. Rob. *κἂν* ex cod. Aurati Schütz., legis grammaticae ignarus, neque curans sequentem conjunctivum.

226. *φύγη* Ald. Rob. — Vulg. *μάταιον αἰτίας* sensu carere videtur, quare Abresch. *μάταιος* conjecit, Both. *μάταιον, αἴτια* dedit, Schütz. *ματαιῶν αἰτίας*, *temeritatis crimen*, quod prae ceteris placet.

227. *τα πλα ενμαβως* Phil. Rob. *ταπλὰ ἐνμὰ ὡς* Guelph. *τἀπλὰ ἐγμάβας* Ald. *ταπλάκημα βὰς* Turn. *τἀπλακήμαθ' ὡς* Vict. et sic Glasg. Burgess. *τἀμπλακήμαθ' ὡς* Schütz. Both. Mirum tamen, in vocabulo tam saepe obvio ita errasse librarios.

Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
Σκοπεῖτε, κἀμείβεσθε τόνδε τὸν τόπον,
Ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.

ΒΑΣΙΛΕΥΣ.

Ποδαπὸν ὅμιλον τόνδ᾽ ἀνέλληνα στόλον,
Πέπλοισι βαρβάροισι καὶ πυκνώμασι
Χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
Ἐσθὴς γυναικῶν, οὐδ᾽ ἀφ᾽ Ἑλλάδος τόπων.
Ὅπως δὲ χώραν οὐδὲ κηρύκων ὕπο,
Ἀπρόξενοί τε, νόσφιν ἡγητῶν, μολεῖν
Ἔτλητ᾽ ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
Κλάδοι γε μὲν δὴ, κατὰ νόμους ἀφικτόρων,
Κεῖνται παρ᾽ ὑμῖν πρὸς θεοῖς ἀγωνίοις·
Μόνον τόδ᾽ Ἑλλὰς χθὼν συνοίσεται στόχῳ.
Καὶ τἄλλα πόλλ᾽ ἐπεικάσαι δίκαιον ἦν,

---

228. Post *ἄλλος* interpungunt Turn. Vict. — *ὑστάταις δίκαις* Both. perperam.

229. *σκοπεῖσθε* Rob. — *τρόπον* ex Stanleji emendatione Schütz. et Both. *respondete in hunc modum*, male, neque melius Faehs. syllog. lectt. p. 318. *μὴ ᾽μείβεσθε τόνδε τὸν τόπον*. Nam *ἀμείβεσθε* non est *deserite illum locum*, quod putarunt illi, sed *huc vos conferte*. cf. Wessel. ad Herod. V, 72. Wunderl. obss. critt. p. 182.

231. *ἀνελληνόστολον* Both. *ἀνέλληνι στολῇ* Burgess., quorum ille in *τόνδε* offendit, quod inter *ὅμιλον* et *στόλον* positum ambiguitatem creet, hic in *στόλον*, quod hic non aptum sit, quia *expeditionem* designet. Sed hos refutare non est operae pretium.

233. *προσφώνου μένου* Ald.

237. *ἔτα τ᾽ ἀρέστως* in cod. reperit Rob., qui ex conjectura dedit *ἔτλατ᾽ ἀτρέστως*. Idem *ἀρέστως* teste Burgess. habet etiam Med., sed teste Buttlero *ἀκρέστως*, in quo consentiunt Reg. L. Guelph. Ald.

238. *μὲν δὲ* Ald. *μέντοι* Burgess.

239. *παρ᾽ ἡμῖν* Rob. *παρ᾽ ὑμῶν* ex Spanhemii cod. Schütz., quo non opus est. cf. Elmsl. ad Eur. Heraclid. 125.

240. *ξυνοίσεται* invitis libris Glasg. Schütz. *ξυνείσεται* ex inutili conjectura Both. Schütz.

241. *πολὺ* Guelph. Ald. — Offensioni est *τἄλλα*, articulo prorsus otioso et molesto, peccat praeterea hic versus in id, quod observasse sibi visus est Porsonus, pedes tertium et quartum in tragicorum senariis nunquam integra voce absolvi, quare ille in praefat. ad Eur. Hecub. p. XXXI. ed. Lips. emendavit: *καὶ πολλά γ᾽ ἦν δίκαιον ἄλλ᾽ ἐπεικάσαι*, quae transpositio audacior jure displicet Elmslejo, qui in Edinburgh Rev. 1811. N. XXXVII. p. 73. conjicit: *καὶ πολλά γ᾽ ἄλλα μ᾽* (vel *ἄλλ᾽ ἂν*) *εἰκάσαι δίκαιον ἦν*. Burgess. denique dedit: *στόχῳ δ᾽*

Εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.

ΧΟΡΟΣ.

Εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον.
Ἐγὼ δὲ πρὸς σε πότερον ὡς ἔτην λέγω,
Ἢ τηρὸν ἱεροῦ ῥάβδον, ἢ πόλεως ἀγόν;

ΒΑΣΙΛΕΥΣ.

Πρὸς ταῦτ᾽ ἀμείβου καὶ λέγ᾽ εὐθαρσῶς ἐμοί.
Τοῦ γηγενοῦς γάρ εἰμ᾽ ἐγὼ Παλαίχθονος
Ἶνις Πελασγὸς, τῆσδε γῆς ἀρχηγέτης.
Ἐμοῦ δ᾽ ἄνακτος εὐλόγως ἐπώνυμον
Γένος Πελασγῶν τήνδε καρπεῦται χθόνα.

Ἔτ᾽ ἄλλα πολλά γ᾽ εἰκάσαι δίκαιον ἦν. Sed totam illam Porsoni regulam omnino non magni faciendam, et ad Aeschylum non adhibendam esse, recte demonstravit Herm. El. metr. p. 112, sq., qui tamen propter ineptum illud *τἄλλα πολλὰ* versum ita emendavit: *καὶ τἄλλα πρόν μ᾽ ἐπεικάσαι δίκαιον ἦν.* At hujus rei faciliorem emendationem invenisse mihi videor, nam *ΚΑΙΤΑΛΛΑ* est *κἄτ᾽ ἄλλα*, iota, ut solet in crasi, perperam adscripto; legendum igitur puto: *κἄτ᾽ ἄλλα πόλλ᾽ ἐπεικάσαι δίκαιον ἦν.*

245. *ἠτηρὸν ἱεροῦ* Med. Guelph. *ἤτηρον ἱεροῦ* Ald. *ἠτηρὸν κέρου* Rob. *ἢ τηρὸν, ἑρμοῦ* Reg. L. — *ῥακδὸν* Ald. — Vulgata, quam praebent Turn. Vict. et servant Schütz. Glasg., sensu caret. Pauw. correxit *ἢ ῥησὸν ἔρκουε ῥάβδον*, Heath. *ἢ ᾽ταιρον ἱεροῦ ῥάβδον*, Legrand. *ἢ αστὸν ἱεροῦ ῥάβδον*, Schütz. proposuit *ἢ ῥήτορ᾽ ἱερόραβδον*, Both. dedit *ἢ τηρὸν ἱερόραβδον*, Burgess. *ἢ ῥητὸν Ἑρμοῦ κλᾶρον.* Prae ceteris mihi placet Bothiana ratio, quae tamen et ipsa incerta est. — *ἄγων* Guelph. Ald.

246. Versum hunc aptius post v. 242. legi putavit Valck. ad Phoen. 1331., at non solum eo loco abundaret, sed etiam *γὰρ* v. 247. sensu prorsus careret, versu praecedente amoto. Commovit tamen ejus judicium Bothium et Burgessium, quorum ille versum loco quidem non movit, sed cum praecedentibus junxit et Choro tribuit, cui quam parum aptus sit, miror eum non vidisse; hic eum post v. 268. collocavit, et ut otiosum *γὰρ* versu sequente tollatur, *πάρειμ᾽* scripsit. Sed, quod omnes ad mutandum impulisse videtur, *πρὸς ταῦτ᾽ ἀμείβου* non est: *ad haec responde*, sed *propter haec, quod ad haec attinet, fidenter respondeas*, ut v. 515. — *λέγετ᾽ εὐθαρσεῖς* Med. Guelph. Ald. *λέγ᾽ εὐθαρσῆς* Turn.

247. *οἵ μ᾽* Guelph. Ald.

248. *Πελασγοῦ* vulg. *Πελασγὸς* conjecit Canter., quod praeter Glasg. editores omnes receperunt, idque praeter alia etiam versus sequentes requirere videntur.

249. *εὔλογος* Ald. *ἐν λόγοις* Burgess.

Καὶ πᾶσαν αἶαν, ἧς δι' Ἄλγος ἔρχεται,
Στρυμὼν τε πρὸς δύνοντος ἡλίου, κρατῶ.
Ὁρίζομαι δὲ τήνδε Πεῤῥαίβων χθόνα,
